# ΕΚΘΕΣΙΣ

ΤΩΝ ΚΑΤΑ ΤΟ ΙΕΡΟΝ ΜΝΗΜΟΣΥΝΟΝ

ΤΩΝ ἈΕΙΜΝΗΣΤΩΝ

# ΖΩΣΙΜΑΔΩΝ,

Σὺν ᾗ

## ΚΑΙ Ο ΕΠΙΤΑΦΙΟΣ ΛΟΓΟΣ

ὁ παρὰ τοῦ αἰδεσιμωτάτου

ΠΡΕΣΒΥΤΕΡΟΥ ΚΑΙ ΟΙΚΟΝΟΜΟΥ

ΚΩΝΣΤ. ΤΟΥ ΕΞ ΟΙΚΟΝΟΜΩΝ

Ἐκφωνηθείς.

ΑΘΗΝΗΣΙΝ

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΧΡΗΣΤΟΥ ΑΝΑΣΤΑΣΙΟΥ.

(Ὁδῷ Ἑρμοῦ, οἰκίᾳ Κ. Πιτάρη).

ᾼΩΜΒ΄.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

3145

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ΕΚΘΕΣΙΣ

ΤΩΝ ΚΑΤΑ ΤΟ ΙΕΡΟΝ ΜΝΗΜΟΣΥΝΟΝ
ΤΩΝ ΑΕΙΜΝΗΣΤΩΝ

# ΖΩΣΙΜΑΔΩΝ,

Σὺν ᾗ

## ΚΑΙ Ο ΕΠΙΤΑΦΙΟΣ ΛΟΓΟΣ

*ὁ παρὰ τοῦ αἰδεσιμωτάτου*

ΠΡΕΣΒΥΤΕΡΟΥ ΚΑΙ ΟΙΚΟΝΟΜΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΕΞ ΟΙΚΟΝΟΜΩΝ

Ἐκφωνηθείς.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΡ. 176
ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ

ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
ΞΕΝΟΦΩΝ Α. ΣΙΔΕΡΙΔΗΣ
ΕΝ ΚΩΝ/ΠΟΛΕΙ

ΑΘΗΝΗΣΙΝ,
ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΧΡΗΣΤΟΥ ΑΝΑΣΤΑΣΙΟΥ.

ᾳΩΜΒ'.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## ΜΙΧΑΗΛ Γ. ΣΧΙΝΑ

Εἰς

# ΤΟΥΣ ΖΩΣΙΜΑΔΑΣ.

Χαίρετ' ἀοίδιμοι! οἱ γένος ἀτρεκὲς ὑψόθεν ἐστέ!
    Χαίρετε ἐν δαπέδοις λήξιος οὐρανίης.
Ὕμμες πατρίδος ἱρὰ νόον τε φαεννὰ ἔθεσθε,
    Δουλιχῷ ἐν βιότῳ ὄλβον σπειράμενοι·
Ὕμμες ἐλεύθερον ᾧ ἀμφὶ χροῒ νήσατε φᾶρος
    Ἀντί γε δουλοσύνου, πτάσθε τε ἑσσάμενοι.
Τῷ καὶ Θειοτόκης καὶ Εὐγενίου κλέος ἠΰ,
    Ἀστέρε θεσπεσίῳ, ὑμέας ἀμφέπετον,
Κύδεά θ' ὑμείων, Ἑλλήνων ἔθνεῖ πολλῷ,
    Φοιβάζοντ' ἄεσαν στήθεα Οἰκονόμου.
Οὕπως ὑμέτερον τὸ ΖΩΣΙΜΟΝ οὔνομ' ὀλεῖται,
    Ἑλλάδος ἔς τε μένος οὐρανίωνι μέλει!
Οἰχομένῃ πνοιῇ θ' . . . . . Ἑλλήνων θυμὸν ἐλᾶτε
    Ἀλληλόβρωτον, ἔργ' ἐς ὁμοφροσύνης!
Εὐξόμενοι γὰρ ὄρουσαν ἀολλέες ᾧδ' ἐπὶ τύμβῳ,
    Καινὸν Ἀθηναίης ἄστυ ἀεξόμενοι.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Ἔκθεσις τῶν κατὰ τὸ Ἱερὸν Μνημόσυνον τῶν ἀειμνήστων

# ΖΩΣΙΜΑΔΩΝ.

Αγγελθεισης εἰς Ἀθήνας τῆς ἀποβιώσεως Νικολάου τοῦ Ζωσιμᾶ, τελευταίου τῆς ἀειμνήστου ἐκείνης ἀδελφικῆς πεντάδος τῆς μεγαλείως εὐεργετησάσης σύμπαν τὸ τῶν Ἑλλήνων γένος, λόγιοί τινες ὁμογενεῖς, πολλῶν καὶ ἄλλων ἔχοντες ἢ προσδοκῶντες τὴν συγκαταίνεσιν, ἐκ τοῦ προχείρου συνελθόντες παρὰ τῷ Κ. Γεωργίῳ Ἀ. Μαυροκορδάτῳ, τῇ δευτέρᾳ μὲν τῆς πέμπτης ἑβδομάδος, Μαρτίου δὲ φθίνοντος τῇ τριακοστῇ, τοῦ τρέχοντος ἔτους (αωμβ'), ἀπεφάσισαν ἵνα τελέσωσιν ἐκ συνεισφορᾶς ἱερὸν μνημόσυνον τῶν μακαρίων ἐκείνων ἀνδρῶν, ἀφ' οὗ λάβωσι καὶ τὴν ἄδειαν τῆς ἐπὶ τῶν ἐκκλησιαστικῶν καὶ τῆς ἐκπαιδεύσεως Γραμματείας· καὶ διώρισαν ἐπιτροπὴν ἐπιμεληθησομένην πάντων τῶν εἰς τοῦτο τεινόντων τοὺς Γ. Αἰνιᾶνα, Γ. Ἀ. Μαυροκορδάτον, Γ. Γεννάδιον, Μ. Γ. Σχινᾶν, καὶ Π. Ἀργυρόπουλον· εἰς οὓς ἐπέκειντο καὶ ἄλλα μὲν, ἀλλὰ καὶ ῥητῶς ἡ πρόσκλησις τοῦ περικλεοῦς διδασκάλου Κωνσταντίνου τοῦ Οἰκονόμου πρὸς ἐκφώνησιν ἐπιταφίου τῶν ἀναπαυσαμένων· ἔδοξε δὲ ἔτι τοῖς συνελθοῦσι, τελεσθέντος τοῦ μνημοσύνου, λαβεῖν σκέψιν καὶ περὶ ἀνεγέρσεως μνημείου λαλήσοντος τοῖς ἐπερχομένοις τὴν Ζωσιμαίαν ἀρετήν.

Ταῦτα δὲ πάντα ἐμφαίνονται ἐν τῷ ὑπὸ στοιχεῖον Α. ὧδε μεθύστερον δημοσιευομένῳ γράμματι.

Τῇ οὖν ἐπαύριον ἦλθεν ἡ Ἐπιτροπὴ παρὰ τὸν διδάσκαλον, καὶ τὴν πρόσκλησιν προσήνεγκε. Καὶ πρῶτον μὲν καὶ βαθέως εὐχαριστῶν, ἀπεποιεῖτο ὁ ἀνὴρ τὸν ἀγῶνα, τὸ ἀσθενικὸν αὐτοῦ τῆς σωματικῆς ἕξεως προβαλλόμενος· κατὰ μικρὸν δὲ, τῆς αὔρας οἷον ἐπᾳδούσης τῆς τε ὑποθέσεως καὶ τοῦ ἀρχαίου πολυστεφάνου ἐπιτηδεύματος, προσεπειγούσης δὲ καὶ τῆς εὐρήμονος τοῦ Κ. Γενναδίου προσκλήσεως, ὡς ἵππος στατὸς, δεσμὸν ἀποῤῥήξας, ἐνέδωκε, καὶ ἔφηνεν ἑαυτὸν ὑπείκοντα πρὸς τὸ κατὰ δύναμιν, ἐὰν μόνον καὶ τῇ Κυβερνήσει συνδόξῃ. Ἐκεῖθεν ἡ Ἐπιτροπὴ πορευθεῖσα προσεκάλεσεν Ἱερουργὸν τῆς τελετῆς τὸν σεβασμιώτατον Ἀττικῆς Ἐπίσκοπον, ὅπου καὶ ἐλαλήθη, ὅτι ἔσται ταῦτα σὺν Θεῷ τῇ ἐρχομένῃ Κυριακῇ, πέμπτῃ τοῦ Ἀπριλίου. Ἀνενεγκοῦσα δὲ τὰ πάντα καὶ εἰς τὸν ἐπὶ τῶν Ἐκκλησιαστικῶν καὶ τῆς Ἐκπαιδεύσεως Γραμματέα, εὗρεν αὐτὸν εὐμενέστατον, ὡς περαιτέρω φανήσεται· πρὸς ὃν καὶ ἐγγράφως τῇ αὐτῇ ἡμέρᾳ ἀπεύθυνε τὰς αἰτήσεις, καθὰ ὑποδείκνυσι τὸ στοιχεῖον Β. Τὸ ἑσπέρας δὲ οἱ ἐπίτροποι συνελθόντες παρὰ τῷ Κυρίῳ Γ. Α. Μαυροκορδάτῳ, ὅπου καὶ ἡ ἔννοια τοῦ μνημοσύνου ἀνεφύη τὸ πρῶτον, ἐχώρισαν καταλόγους συνεισφορᾶς, ἐν οἷς καὶ αὐτοὶ ὑπεγράφησαν, καὶ ἀπὸ τῆς ὑστεραίας (πρώτης τοῦ Ἀπριλίου) διαδόντες αὐτοὺς πολλαχοῦ, καὶ αὐτοὶ διακομίσαντες ἐπί τε τὰ ἀρχεῖα καὶ πρὸς τοὺς ζηλωτὰς ἁπλῶς τῶν καλῶν, ἀφ' οὗ μάλιστα καὶ τὴν ἔγκρισιν τῆς Κυβερνήσεως ἔγγραφον ἔλαβον, συνέλεγον καὶ παρεσκεύαζον τὰ πάντα ἄξια τῆς σεμνοτάτης πανηγύρεως, ὡς παριστῶσιν ὅ,τε τῶν συνδρομητῶν κατάλογος, ἐξ ὧν ἡ πρόσοδος, καὶ ὁ

τοῦ ὅλου δαπανήματος ἀπολογισμός, τὸ Γ. στοιχεῖον ἔχοντες ὑπερκείμενον.

Τῇ 2 δὲ Ἀπριλίου ἐξέδωκεν ἡ προδηλωθεῖσα Γραμματεία τὰ ὑπὸ τὸ Δ δημοσιευόμενα, τὸ μὲν πρὸς τὴν Ἐπιτροπὴν, ἀποδεκτικὸν τῶν εἰς τὴν Κυβέρνησιν ἀνενεχθέντων, τὸ δὲ, πρὸς τὸν διδάσκαλον Οἰκονόμον, ἀγγελτικὸν ἀσπασιωτάτης ἐπικυρώσεως τοῦ κλήρου τοῦ ἐπ' αὐτὸν πεσόντος. Ἀλλὰ καὶ τῇ 4 Ἀπριλίου ἔγραψεν ἡ Γραμματεία δύω πρὸς τὴν ἐπιτροπὴν, δηλοῦσα ὅτι ἀποφάσει Βασιλικῇ 500 δραχμαὶ δοθήσονται εἰς αὐτὴν ἀπὸ τοῦ ἐκκλησιαστικοῦ Ταμείου διὰ τὸ Ζωσιμαῖον μνημόσυνον, καὶ ὅτι διατάγματι πάλιν τοῦ Σεβαστοῦ ἡμῶν Βασιλέως ἐπὶ τρεῖς ἡμέρας πενθηφορήσουσι διδάσκαλοί τε καὶ μαθηταὶ πάντες ἁπανταχοῦ τῆς Ἑλλάδος. Ἐκδίδονται δὲ ὧδε ἑπόμεναι καὶ αἱ ἐπιστολαὶ αὗται ὑπὸ τὸ Ε. στοιχεῖον.

Οὕτω συμπνευσάντων, θείῳ ἐλέει, ἐπὶ τὴν αὐτὴν νύσσαν (νύσσα δὲ ἦν ὁ τάφος τῶν μεγάλων εὐεργετῶν) τῶν τε διάφορον ἄλλως ἐχόντων τὴν γνώμην Ἑλλήνων, καὶ τῆς αὐτῶν Κυβερνήσεως, καὶ τῇ Ἱερᾷ ἐπιπνοίᾳ πεμπομένων τῆς ἑλληνικωτάτης καὶ ἀκραιφνεστάτης καὶ εὐσεβεστάτης τῶν ἀποιχομένων ἀρετῆς, καθ' ἣν τὴν Ἑλλάδα καὶ μόνην, ἀλλὰ σώαν καὶ ἀσχιδῆ, διέζησαν πνέοντες, ἀνέλαμψεν ἡ πέμπτη τοῦ Ἀπριλίου, Κυριακὴ οὖσα ἑβδομάδος τῆς πέμπτης τῶν εὐαγῶν Νηστειῶν, καὶ ἑνδεκάτη μὲν ἀπὸ τῆς ἐπετείου ἡμέρας τῆς πανελληνίου Ἐπαναστάσεως, κατ' αὐτὸ τὸ τοῦ ἔτους ἔαρ, ὡς εὐαγγέλου γεγονότος τοῦ θανάτου τοῖς μακαρίταις, παραμονὴν δὲ ἔχουσα καθ' ἵλεών τινα καὶ ἐνθέως ἐρωτικὴν σύμπτωσιν τὴν τοῦ ὁσίου Ζωσιμᾶ μνήμην, καὶ πέμπτη ὑπάρχουσα πρὸ τῶν ἀναμνηστηρίων τῆς πολυκλαύστου ἀνακρεμάσεως τοῦ θείου Πατριάρχου Γρηγορίου, καὶ ἑβδόμη πρὸ τῆς ἀναζωώσεως

Λαζάρου τοῦ μακαρίου φίλου τοῦ θεανθρώπου Σωτῆρος, καὶ ὅλως πανταχόθεν θεοφιλῆ καὶ ὁσίαν καὶ φιλάνθρωπον ἔχουσα τὴν δορυφορίαν. Καὶ ἐδέχετο δὴ ἀπὸ βαθείας πρωΐας ὁ τῆς ἁγίας Εἰρήνης ναὸς, πενθίμως κεκοσμημένος τὰ πρόθυρα, καὶ τὰ κόλυβα τῶν μακαριτῶν ἔχων τοῦ ἱεροῦ προκείμενα, εὐπρεπέστατα παρεσκευασμένα, ἐδέχετο καὶ πλῆθος, καὶ ἄρχοντας, καὶ διδασκάλους, καὶ μαθητὰς, καὶ Ἀρχιερέα μετὰ τοῦ περὶ αὐτὸν κλήρου, καὶ γυναῖκας, καὶ παιδία, καὶ γέροντας, πενθειμονοῦντας μάλιστα τῇ ψυχῇ καὶ κατανενυγμένους, καὶ πνῖγος ἐγίνετο ἐν κατεστενῳ τόπῳ διὰ τὴν συῤῥοήν. Συντελεσθείσης δὲ τῆς ἱερᾶς μυσταγωγίας, ἀντὶ τοῦ κοινωνικοῦ ᾄσματος, ἀνέβη ἐπὶ τὸν ἄμβωνα ὁ διδάσκαλος. Καὶ πρῶτον μὲν τὸ πνιγηρὸν τοῦ ἀέρος, καταπιέζον τὸν πνεύμονα, διέκοπτε τὴν αὐτοῦ λαλιὰν, ἄλλως τε καὶ πρότερον ἤδη ἀσθενικοῦ. Ἐγίνετο δὲ μεταξὺ καὶ θόρυβος ἐξ ὠθισμοῦ τοῦ λαοῦ καὶ ἐκ νηπίων ἀναβοῆς, παρ' αὐτὸν τὸν ἄμβωνα θυραυλούντων ἐν ἀγκάλαις μητέρων· ἀλλὰ τέλος τὸ ἔμφυτον τῷ ῥήτορι σθένος, διελάσαν τὸν τοιοῦτον συννεφασμὸν, δοθείσης δὲ καὶ ἄλλης διόδου τῷ ἔξωθεν ἀέρι, εἶπεν ἀπὸ στήθους καὶ ἀνεπιβιάστως ὅσα ἀναγινώσκονται μὲν ὑπὸ τὸ Ζ. στοιχεῖον, (ζώσιμος καὶ ὧδε ὁ φθόγγος!) ἀλλ' οὔπως αὐτόχρημα, οἷα καὶ ἐλέχθησαν, ἔχουσι ζωγραφεῖσθαι, ἢ μᾶλλον, ἀναποιεῖσθαι λαλητικῶς, τῆς τε χειρονομίας τῆς ἀρχιτέκτονος ὄντα κεχωρισμένα, καὶ τοῦ πολιωτάτου σχήματος τοῦ ῥήτορος, καὶ τῆς φωνῆς, καὶ τῆς κεφαλῆς, καὶ τοῦ ἱδρύματος, ὃ καταλαβὼν ἐπεῖχεν ἐπὶ τοῦ ἄμβωνος, κύριος οἷον τοῦ ἐκεῖ τόπου καὶ τῆς προσοχῆς τῶν ἀκουόντων ποιμήν. Καταβάντος δὲ, ἐψάλη τὸ ἱερὸν μνημόσυνον, καὶ ἅπαντες τὰς ψυχὰς τῶν μεγάλων εὐεργετῶν τῷ Θεῷ παραθέμενοι, ἀπεχώρησαν. Ἡ δὲ ἐπιτροπὴ παραγενομένη

εἰς τὸν οἶκον τοῦ διδασκάλου, εὐχαρίστησεν αὐτῷ, καὶ τὸν λόγον ἠτήσατο εἰς ἐκτύπωσιν, καὶ ἔλαβε μετ' ὀλίγας ἡμέρας.

Λογοθετηθέντος ἔπειτα τοῦ χρηματικοῦ μέρους τοῦ μνημοσύνου, εὑρέθησαν προσελθοῦσαι μὲν ἐκ τῶν συνεισφορῶν δραχμαὶ **910, 93** δαπανηθεῖσαι δὲ 596, 49, καὶ τὸ κατάλοιπον, **314, 44**, ὡς φαίνεται ἐν τοῖς προμνημονευθεῖσι καταλόγοις. Ἐκδοθέντος δὲ τῇ 9 Ἀπριλίου καὶ τοῦ ἐντάλματος τῆς Κυβερνήσεως τοῦ τῶν 500 δραχμῶν παρεκτικοῦ, συμποσοῦται σήμερον τὸ ὅλον παρὰ τῇ ἐπιτροπῇ πλεονάζον κεφάλαιον εἰς δραχμὰς 814, 44· ἀφορμὴ καὶ ὑπόστασις τῶν ἐπισυλλεγησομένων πρὸς ἀνίδρυσιν τοῦ μνημείου.

Τῇ δὲ 20 Ἀπριλίου ἔγραψεν ἡ Ἐπιτροπὴ πρὸς τὴν Κυβέρνησιν τὴν ὑπὸ Η. στοιχεῖον εὐχαριστήριον ἐπιστολήν, καὶ οὕτω συγκλείσασα τὰ τοῦ μνημοσύνου, ἀποδίδωσι μὲν διὰ τοῦ παρόντος δημόσιον τὸν λόγον τῶν αὐτῇ πεπραγμένων, ὑμνεῖ δὲ τὸν Δοτῆρα τῶν ἀγαθῶν, καὶ εὔχεται ἵνα τῇ αὐτοῦ χάριτι καὶ τὸ ἔργον τῆς τοῦ μνημείου ἱδρύσεως ὅσον τάχιστα εἰς πέρας ἀχθῇ, τῷ φιλοπάτορι ζήλῳ τοῦ Ἑλληνικοῦ γένους φιλοτιμότατα συμπροθυμουμένης καὶ τῆς αὐτοῦ Κυβερνήσεως.

Ἀθήνησι τῇ 21 Ἀπριλίου 1842.

Ἡ ἐπὶ τοῦ μνημοσύνου τῶν ἀειμνήστων
Ζωσιμάδων Ἐπιτροπή.

Γ. ΑΙΝΙΑΝ
Μ. Γ. ΣΧΙΝΑΣ
Π. ΑΡΓΥΡΟΠΟΥΛΟΣ
Γ. Α. ΜΑΥΡΟΚΟΡΔΑΤΟΣ
Γ. ΓΕΝΝΑΔΙΟΣ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Α.

Ἐπειδὴ Νικόλαος ΖΩΣΙΜΑΣ, μόνος τέως περιὼν τῶν ἀδελφῶν ΖΩΣΙΜΑΔΩΝ, ἀνηγγέλθη ἄρτι τετελευτηκὼς ἐν Νίζνῃ τῇ κατὰ Ῥωσσίαν, καὶ ἐκλέλοιπε δὴ σὺν αὐτῷ ἡ μακαρία ΖΩΣΙΜΑΙΑ πεντὰς, ἄνδρες πολλὰς καὶ μεγάλας ὠφελείας τῷ γένει παρεσχηκότες, οὐδὲν ἀνέκαθεν πνέοντες, ὅτι μὴ τὴν ἀγάπην καὶ τὴν εὔκλειαν τῆς πατρίδος, ἀφθόνοις τε δαπάναις καὶ προθυμίᾳ λιπαρεῖ τὴν Ἑλλάδα εὐεργετήσαντες, τὰ μὲν διδασκαλείων πολλαχοῦ τῆς Ἑλλάδος ἐγκαταστάσει, τὰ δὲ καὶ βιβλίων ἐκδόσεσιν, ὅσα γε καὶ ἀριθμεῖν χαλεπὸν, βιβλιοθήκαις τε μὴν καὶ ἀρχαιολογικαῖς συλλογαῖς τὰς πόλεις πλουτίσαντες, καὶ δὴ καὶ τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ εὐσεβῶς καὶ προθύμως πλεῖσθ᾽ ὅσα ἀναθέμενοι μάλιστα, καὶ ἄλλως δὲ πολλαχῶς καὶ κοινῇ καὶ ἰδίᾳ ἐφ᾽ ὅλην πεντηκονταετηρίδα τὴν Πατρίδα, ὡς οὐδένες ἄλλοι, εὐπεποιηκότες, καὶ πατέρες

καὶ ἀρωγοὶ καὶ κηδεμόνες τοῦ ἀνεγειρομένου ἔθνους τῶν Ἑλλήνων, ἔτι καὶ τὸν περὶ τῶν ὅλων ἀναβαλλομένου κίνδυνον ἀριδήλως ἀναδειχθέντες·

Ἔδοξε τοῖς Ἀθήνησι λογάσι τῶν Ἑλλήνων συνελθοῦσιν ἐπιτελέσαι τοῖς μακαρίταις ΖΩΣΙΜΑΔΑΙΣ δημοσίᾳ μνημόσυνον ἱερὸν κατὰ τὸν ἐν Χριστῷ πάτριον νόμον, ἐγκρίσει καὶ συνεργείᾳ τῆς ἐπὶ τῶν Ἐκκλησιαστικῶν καὶ τῆς Ἐκπαιδεύσεως Γραμματείας.

Ἐπιτραπῆναι δὲ τὴν ἐπιμέλειαν ἀνδράσι πέντε τῶν Ἀθήνησι λογίων ὁμογενῶν, Γεωργίῳ Αἰνιᾶνι, καὶ Γεωργίῳ Μαυροκορδάτῳ, καὶ Γεωργίῳ Γενναδίῳ, καὶ Μιχαήλῳ Γ. Σχινᾷ, καὶ Περικλεῖ Ἀργυροπούλῳ, οὓς ἐπιμεληθῆναι καὶ κοσμῆσαι τὰ κατὰ τὴν τελετήν.

Καὶ προσκαλέσαι μὲν αὐτούς, εἴπερ ἐξείη, τῶν ἐπιδημούντων ἀρχιερέων τρεῖς, εἰ δὲ μή γε, ἕνα μετὰ τεσσάρων ἱερέων καὶ δύο διακόνων συλλειτουργήσοντας ἡμέρᾳ τα-

κτῇ ἐν τῷ Ναῷ τῆς Ἁγίας Εἰρήνης· παρακαλέσαι δὲ προσκειμένως καὶ τὸν σοφὸν πρεσβύτερον Κωνσταντῖνον τὸν ἐξ Οἰκονόμων εἰπεῖν ἐπὶ τοῖς Ἀοιδίμοις ΖΩΣΙΜΑΔΑΙΣ ἔπαινον τὸν πρέποντα.

Προσεκκλησιάσαι δὲ τῆς ἱερᾶς κοινωνήσοντας τελετουργίας καὶ τῶν ἐπικηδείων προσευχῶν τούς τε Καθηγητὰς τοῦ Πανεπιστημίου καὶ τοῦ Γυμνασίου μετὰ τῶν μαθητῶν πάντων, καὶ τοὺς ἐν ἀξιώμασι τῶν ὁμογενῶν.

Ἐπιδοῦναι δὲ καὶ ταῖς Ἀθήνησιν ἱεραῖς Ἐκκλησίαις πάσαις, μνημονεύεσθαι ΑΝΑΣΤΑΣΙΟΝ καὶ ΘΕΟΔΟΣΙΟΝ καὶ ΝΙΚΟΛΑΟΝ καὶ ΖΩΗΝ καὶ ΜΙΧΑΗΛΟΝ ἐν ταῖς θείαις Μυσταγωγίαις εἰς ἐπήκοον πάντων.

Τούτων δὲ γενομένων, σκέψασθαι καὶ περὶ μνημείου ἀνεγέρσεως ἀξίου τῆς ΖΩΣΙΜΑΔΩΝ ἀρετῆς, ἧς ἐπιδεικνύμενοι διετέλεσαν, ὅπως ἅπασι κατάδηλον γένηται,

ὅτι τὸ τιμᾷν τοὺς ἀγαθοὺς πάτριον τῇ Ἑλλάδι.

Γέγραπται Ἀθήνησιν, ἐν ἔτει σωτηρίῳ ͵αωμβʹ μηνὸς Μαρτίου λʹ.

Γεώργιος Αἰνιάν. Μιχαὴλ Γ. Σχινᾶς. Γεώργιος Γεννάδιος. Κ. Δ. Σχινᾶς. Φίλιππος Ἰωάννου. Ἀ. Σ. Μάμουκας. Θ. Μανούσης. Ν. Ῥενιέρης. Γ. Κ. Τυπάλδος. Γ. Ἀ. Μαυροκορδάτος. Ν. Λεβαδιεύς. Γ. Δοκός. Κ. Θ. Κολοκοτρώνης. Π. Ἀργυρόπουλος. Κ. Ν. Δόσιος. Δ. Γ. Σοῦτσος. Ἀ. Ῥ. Ῥαγκαβῆς. Ν. Ἀ. Μαυροκορδάτος. Ἰ. Κοκκώνης. Ἰ. Φιλήμων. Ἡ. Ταντα λίδης.

B.

Πρὸς τὴν ἐπὶ τῶν Ἐκκλησιαστικῶν καὶ τῆς Δημοσίας Ἐκπαιδεύσεως Β. Γραμματείαν τῆς Ἐπικρατείας.

Διορισθέντες οἱ ὑποφαινόμενοι μέλη Ἐπιτροπῆς πρὸς ἐκτέλεσιν μνημοσύνου τῶν ἀοιδίμων Ζωσιμάδων γενησομένου τὴν προσεχῆ κυριακὴν, ὡς δηλοῦται ἐκ τοῦ ἐσωκλείστου, ἐξαιτούμεθα τὴν ἔγκρισιν καὶ ἄδειαν τῆς Βασιλικῆς ταύτης Γραμματείας, καὶ ἰδίᾳ καθ' ὅσον ἀφορᾷ τὴν πρόσκλησιν τοῦ Διδασκάλου Κυρίου Οἰκονόμου εἰς ἐκφώνησιν τοῦ ἐπιταφίου λόγου.

Ἀθήνησι τῇ **31** Μαρτίου **1842**.

Οἱ εὐπειθέστατοι

Γ. ΑΙΝΙΑΝ
Γ. Α. ΜΑΥΡΟΚΟΡΔΑΤΟΣ
Μ. Γ. ΣΧΙΝΑΣ.
Γ. ΓΕΝΝΑΔΙΟΣ
Π. ΑΡΓΥΡΟΠΟΥΛΟΣ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## Γ.

# Ἀπολογισμὸς τῶν καταβληθέντων καὶ δαπανηθέντων περὶ τὸ ἱερὸν μνημόσυνον τῶν ἀοιδίμων ΖΩΣΙΜΑΔΩΝ.

### Καταβολαί.

| | Δρ. | Λ. |
|---|---|---|
| Ἡ Σεβαστὴ Κυβέρνησις τῆς Α. Μ. | 500 | |
| Ἀργολίδος Κύριλλος. | 25 | |
| Ἀρσένιος Ἀρχιμανδρίτης. | 5 | |
| Ἀναγνωστάκης. | 5 | |
| Ἀ. Ν. Οἰκονόμος. | 2 | |
| Ἀ. Ῥ Ῥαγκαβῆς. | 12 | |
| Ἀ. Μάμουκας. | 12 | |
| Ἀθ. Γ. Κωστόπουλος. | 10 | |
| Ἀ Δ. Νεροῦτσος μαθητ. τοῦ Γυμν. | 3 | |
| Ἀπόστολος Ζ. Γεωργίου. | 1 | |
| Ἀντώνιος Μαυρομάτης μαθητ. τοῦ Γυμν. | 5 | |
| Ἀθανάσιος Σκαμπαβίας μαθητ. τοῦ Γυμν. | 6 | |
| Ἀγγελῆς Δ. Καπότης μαθητ. τοῦ Γυμν. | 2 | |
| Ἀλέξανδρος Μ. Καμπάνης μαθητ. τοῦ Γυμν. | 5 | |
| Βέλιος. | 5 | |
| Βυζούλας. | 3 | |
| Γ. Γεννάδιος. | 25 | |
| Γ. Ἀ. Μαυροκορδάτος. | 12 | |
| Γ. Σταῦρος. | 12 | |
| Γ. Βιώνης. | 5 | |
| Γρηγ. Μάνδρας Μιτυληναῖος. | 3 | |
| Γ. Ἀ. Βοῦρος. | 5 | |
| Γ· Παπασολιώτης μαθητ. τοῦ Γυμν. | 5 | |
| Γεώργιος Κωνσταντινίδης μαθητ. τοῦ Γυμν. | 6 | |

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

| | |
|---|---|
| Γ. Ἀ. Βακαλόπουλος. | 5 |
| Γ. Ἀναγνώστου Ἠπειρώτης μαθητ. τοῦ Γυμν. | 2 |
| Γρηγ. Παππαδόπουλος. | 5 |
| Γεώργιος Ὑψηλάντης μαθητ. τοῦ Γυμν. | 1 |
| Δομνάνδος. | 10 |
| Δραγούμης. | 5 |
| Διονύσιος Βοῦλσος. | 12 |
| Δοΐλας. | 2 |
| Δ. Γ. Σοῦτσος. | 12 |
| Δημήτριος Μαυρίκης μαθητ. τοῦ Γομν. | 20 |
| Δημήτριος Φωτιάδης μαθητ. τοῦ Γυμν. | 5 |
| Δημήτριος Ἀλέκου μαθητ. τοῦ Γυμν. | 5 |
| Δημήτριος Κ. Χ. Νικολάου μαθητ. τοῦ Γυμν. | 3 |
| Δημήτριος Παγωνίδης μαθητ. τοῦ Γυμν. | 3 |
| Δανιὴλ Κωνσταντινίδης ἐκ Βάρνης μαθ. τοῦ Γυμν. | 2 |
| Δ. Ν. Ῥάπτου Σπετσιώτης μαθητ. τοῦ Γυμν. | 5 |
| Δ. Κ. Βενέτιος Κεφαλλὴν μαθητ. τοῦ Γυμν. | 6 |
| Εὐβοίας Νεόφυτος. | 10 |
| Ἐ. Σίμος. | 3 |
| Εὐστράτιος Σκαναβῆς μαθητ. τοῦ Γυμν. | 4 |
| Ζοχιὸς | 3 |
| Ἡ Κυρία Χατσοπούλου. | 15, 45 |
| Ἠ. Ταντalίδης. | 5 |
| Θήρας Ζαχαρίας. | 10 |
| Θ. Φαρμακίδης. | 5 |
| Θεοφάνης Σιατιστεύς. | 6 |
| Θ. Μανούσης. | 12 |
| Θρασύβουλος Περίδης μαθητ. τοῦ Γυμν. | 2 |
| Ἰ. Τυπάλδος. | 5 |
| Ἰ. Φιλήμων. | 20 |
| Ἰ. Ψαθᾶς. | 6 |
| Ἰ. Βοῦρος. | 10 |
| Ἰσχόμαχος. | 5 |
| Ἰ. Γ. Σεμπτέλλος μαθητ. τοῦ Γυμν. | 4 |
| Ἰ. Πασπάτης μαθητ. τοῦ Γυμν. | 5 |
| Ἰ. Νικολαΐδης μαθητ. τοῦ Γυμν. | 2 |

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

| | |
|---|---|
| Ἰ.Αὐ. μαθητ. τοῦ Γυμν. | 3 |
| Ἰφικράτης Τεπεγκιώζης μαθητ. τοῦ γυμν. | 4 |
| Κριεζῆς. | 15 |
| Κ. Δ. Δόσιος. | 12 |
| Κόμης Ῥώμας. | 22, 32 |
| Κ. Πετσάλης. | 12 |
| Κ. Ζωγράφος. | 12 |
| Κ. Νέγρης. | 12 |
| Κ. Κολοκοτρώνης. | 12 |
| Κόνιαρης. | 5 |
| Κ. Κοκκώνης. | 12 |
| Κλεάνθης. | 20 |
| Κωνσταντῖνος Κοντογόνης. | 12 |
| Κ. Πλατύς. | 12 |
| Κ. Κλονάρης. | 12 |
| Κ. Ἡρακλείδης | 5 |
| Κ. Νεστορίδης μαθητ. τοῦ Γυμν. | 5 |
| Κ. Διομήδης. | 5 |
| Κ. Τ. Οἰκονομίδης. | 6 |
| Κ. Γ. Μαντέλας μαθητ. τοῦ Γυμν. | 5 |
| Λουκᾶς Μ. Ζερλέντης μαθητ. τοῦ Γυμν. | 5 |
| Μ. Σοῦτσος. | 18 |
| Μ. Γ. Σχινᾶς. | 12 |
| Μάμουκας. | 3 |
| Μποτλῆς. | 5 |
| Μαρινάκης. | 5 |
| Μελᾶς. | 5 |
| Μινῶτός μαθητ. τοῦ Γυμν. | 6 |
| Ν. Ἀ. Μαυροκορδάτος. | 12 |
| Νικόλαος Χορτάκης. | 10 |
| Νάρκισσος Μορφεύς. | 5 |
| Ν. Δημητρέλλης Μιτυληναῖος μαθ. τοῦ Γ. | 5 |
| Ν. Λ. Γεράσης μαθητ. τοῦ Γυμν. | 3 |
| Νικηφ. Ἱεροδιάκονος Λέσβιος μαθ. τοῦ Γ. | 2 |
| Νεάνις Μιτυληναία. | |
| Ξανθόπουλος. | 3 |

| | |
|---|---|
| Ξενοφῶν Γ. Καραπαναγιώτης μαθητ. τοῦ Γ. | 1 |
| Πρώην Δαμαλῶν Ἰωνᾶς. | 10 |
| Π, Ἠπίτης. | 10 |
| Π. Καλλιγᾶς. | 12 |
| Π. Ἀργυρόπουλος. | 12 |
| Παπαρηγόπουλος. | 5 |
| Π. Τυπάλδος. | 6 |
| Π. Στροῦμπος. | 5 |
| Πιτσιπιός. | 5 |
| Π. Παπαζαφειρόπουλος μαθ. τοῦ Γυμν. | 1 |
| Παναγιώτης Ν. Ῥαζῆς μαθ. τοῦ Γυμν. | 5 |
| Πάτροκλος Μ. Ῥαυτόπουλος μαθ. τοῦ Γυμν. | 4 |
| Παναγῆς Φωκᾶς Κεφαλλὴν μαθ. τοῦ Γυμν. | 4 |
| Σελασίας Θεοδώρητος. | 10 |
| Σταῦρος. | 12 |
| Σ. Πήλληκας | 10 |
| Σ. Δάρας. | 5 |
| Σοφοκλῆς Κ. Οἰκονόμος. | 12 |
| Σ. Δ. Βοῦρος. | 12 |
| Σκουλούδης. | 10 |
| Σαμουρκάσης. | 10 |
| Σιλίβεργος. | 12 |
| Σ· Ἀ Σίμος. | 5 |
| Σ. Γ. Τσίμας μαθ. τοῦ Γυμν. | 2 |
| Σωτήριος Γιακοῆς μαθητ. τοῦ Γυμν. | 1 |
| Σπυρίδων Ν. Χαρμούκης Ζακύνθιος μαθ. τοῦ Γ. | 3 |
| Ὕδρας Γεράσιμος. | 6 |
| Φιλόθεος Οἰκονομόπουλος. | 3 |
| Φλογαίτης. | 5 |
| Χ. Βάρας. | 6 |
| Χ. Ζῶτος. | 5 |
| Χαρ δημος Δραγάτσης. | 5 |
| Χαρίτων Παπα-Ἀθανασίου μαθητ. τοῦ Γυμν. | 2 |
| Χρῆστος Σλαγκίου Μηχαῆλος | 1 |
| Χριστόδουλος Ἰωαννίδης μαθητ. τοῦ Γυμν. | 5 |

Δαπάνη.

| | Δρ. | Λ. |
|---|---|---|
| Εἰς κόλυβα | 85, | 57 |
| » κηρία | 187 | |
| » ταινίας πενθίμους | 146 | |
| » ἐπικόσμησιν τῶν προθύρων τοῦ Ναοῦ | 22, | 1 |
| Τῇ Ἐκκλησίᾳ τῆς Ἁγ. Εἰρήνης καὶ τοῖς ἱερεῦσι καὶ διακόνοις καὶ ψάλταις | 70 | |
| Ταῖς ἐν Ἀθήναις ἱεραῖς Ἐκκλησίαις πάσαις διὰ τεσσαρακονταλείτουργα | 70 | |
| Ἀντιμίσθια ὑπηρετῶν καὶ ἄλλα | 15, | 91 |
| | 596, | 49 |

| | Δρ. | Λ. |
|---|---|---|
| Εἰσεπράχθησαν | 1410, | 93 |
| Ἐδαπανήθησαν | 596, | 49 |
| Λείπονται ἔτι | 814, | 44 |

Δ.

Ἀρ. 13409
815

# ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ.

## Η ΕΠΙ ΤΩΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ

### ΚΑΙ ΤΗΣ ΔΗΜΟΣΙΟΥ ΕΚΠΑΙΔΕΥΣΕΩΣ

## ΓΡΑΜΜΑΤΕΙΑ ΤΗΣ ΕΠΙΚΡΑΤΕΙΑΣ.

Πρὸς τοὺς Κυρίους Γεώργιον Αἰνιᾶνα, Γεώργιον Α. Μαυροκορδᾶτον, Μιχαὴλ Γ. Σχινᾶν, Γεώργιον Γεννάδιον, καὶ Περικλῆν Ἀργυρόπουλον, τοὺς ἐπιτετραμμένους τὴν ἐπιμέλειαν τῆς τελέσεως ἱεροῦ μνημοσύνου ὑπὲρ τῶν ἀοιδίμων ἀδελφῶν Ζωσιμάδων.

ΤΑ δόξαντά τισι τῶν ἐν Ἀθήναις ἐπὶ φιλογενείᾳ καὶ λόγοις διαπρεπόντων ὁμογενῶν, κατὰ τὴν πρᾶξιν τὴν ὑπ' αὐτῶν ὑπογραφεῖσαν τῇ 30 τοῦ παρελθόντος μηνὸς καὶ ἐν τῇ αἰτήσει Ὑμῶν α'. ἱσταμένου ἐπισυναφθεῖσαν ἐν ἀντιτύπῳ γράφῳ, ἀποδεχόμεθα πληρέστατα κατὰ τοσοῦτον μᾶλλον προθύμως, καθ' ὅσον ἡ τῶν εἰρημένων ἐγγράφων ὑπόθεσις ὑπάρχει καὶ πρὸς τὴν μνήμην τῶν ἀοιδίμων Ζωσιμάδων, τῶν τοὺς Ἕλληνας κοινῇ τε καὶ ἰδίᾳ εὐεργετησάντων, πρεπωδεστάτη, καὶ τῶν εὐγενῶν αἰσθημάτων τοῦ Ἑλληνικοῦ ἔθνους ἀξία εἰς δεῖγμα ὀφειλομένης πρὸς τοὺς Εὐεργέτας εὐγνωμοσύνης.

Ἐφ' ᾧ, ἐπινεύσει καὶ ἀδείᾳ τοῦ Μεγαλειοτάτου Βασιλέως καὶ Κυρίου ἡμῶν, ἐκδιδόντες διὰ τοῦ παρόντος τὴν πρὸς τοῦτο ἀπαιτουμένην ἔγκρισιν, ἐπειγόμεθα πρόθυμοι ἵνα εἰδοποιήσωμεν Ὑμᾶς συγχρόνως, ὅτι, καὶ κατὰ τὴν αἴτησιν Ὑμῶν, καὶ κατὰ τὸ εἰκὸς, ἐπεστείλαμεν ἰδίως ἔγγραφον πρὸς τὸν Αἰδεσιμώτατον Πρεσβύτερον Κύριον Κωνσταντῖνον τὸν ἐξ Οἰκονόμων, τὸν καταλλήλως ὑφ' Ὑμῶν παρακληθέντα εἰς ἐκφώνησιν ἐπαίνου ἀξίου ἐπὶ τοῖς ἀοιδίμοις Ζωσιμάδαις.

Ἐν Ἀθήναις τῇ 2 Ἀπριλίου 1842.

Ὁ Γραμματεὺς τῆς Ἐπικρατείας

Ι. ῬΙΖΟΣ.

---

*Περὶ τῆς τελετῆς ἱεροῦ μνημοσύνου ὑπὲρ τῶν ἀοιδίμων Ζωσιμάδων.*

---

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Δ.

Ἀρ. 13409
816

# ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ.

## Η ΕΠΙ ΤΩΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ

ΚΑΙ ΤΗΣ ΔΗΜΟΣΙΟΥ ΕΚΠΑΙΔΕΥΣΕΩΣ.

## ΓΡΑΜΜΑΤΕΙΑ ΤΗΣ ΕΠΙΚΡΑΤΕΙΑΣ

Πρὸς τὸν Αἰδεσιμώτατον Πρεσβύτερον Κύριον Κωνσταντῖνον τὸν ἐξ Οἰκονόμων.

Η ἀρτίως διαδοθεῖσα ἐνταῦθα εἴδησις τῆς ἀποβιώσεως Νικολάου τοῦ Ζωσιμᾶ, τοῦ μόνου ἐκ τῶν ἀοιδίμων ἀδελφῶν Ζωσιμάδων ἐπιζήσαντος μέχρι τῶν καθ' ἡμᾶς ἡμερῶν, ἐλύπησε τοὺς Ἕλληνας, τοὺς κοινῇ τε καὶ ἰδίᾳ πολλὰ καὶ μεγάλα πολυτρόπως εὐεργετηθέντας ὑπὸ τῆς ἀειμνήστου ἐκείνης ἀδελφότητος.

Τινὲς τῶν ἐν Ἀθήναις ἐπὶ φιλογενείᾳ καὶ λόγοις διαπρεπόντων ὁμογενῶν, συνελθόντες, ἔκριναν, καὶ πρὸς μνήμην τῶν ἀοιδίμων αὐτῶν εὐεργετῶν πρεπωδέστατον, καὶ τοῦ εὐγνώμονος Ἑλληνικοῦ ἔθνους ἄξιον εἰς δεῖγμα εὐγνωμοσύνης ὀφειλομένης τοῖς εὐεργέταις, ἵνα τελεσθῇ δημοσίᾳ καὶ κατὰ τὸν πάτριον τῆς Ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας νόμον, ἱερὸν μνημόσυνον ὑπὲρ τῶν ἐν μακαρίᾳ τῇ λήξει γεγονότων ἀδελφῶν Ζωσιμάδων, οἵτινες, διανύσαντες ὅλον

τὸν ἑαυτῶν βίον ἐπ' ἀγαθῷ τῆς Ἑλλάδος καὶ τῶν Ἑλλήνων, ἀνεγράφησαν δι' ἀνεξαλείπτων χαρακτήρων Εὐεργέται ἁπαξάπαντος τοῦ Ἑλληνικοῦ γένους· παρακληθῇ δὲ ἡ Ὑμετέρα Αἰδεσιμότης εἰς ἐκφώνησιν λόγου ἐπαινετικοῦ τῶν ἀοιδίμων ἀνδρῶν, ὑπὲρ ὧν τελεσθήσεται τὸ μνημόσυνον, κατὰ τὴν προσεχῆ Κυριακὴν (5. ἱσταμένου), ἡμέραν τακτὴν πρὸς τελετὴν τοιαύτην.

Εἰδοποιηθέντες περὶ τούτου ὑπὸ τῆς τὴν ἐκτέλεσιν τοῦ Ἱεροῦ μνημοσύνου ἐπιμεληθησομένης πενταμελοῦς Ἐπιτροπῆς, ἀπεδέχθημεν πληρέστατα τὰ δόξαντα τοῖς εἰρημένοις φίλοις τῆς ἀρετῆς ἀνδράσι, κατὰ τοσοῦτον μᾶλλον προθύμως, καθ' ὅσον ἔγνωμεν, ὅτι οἱ μνήμην ἀΐδιον τῆς αὐτῶν ἀρετῆς καταλιπόντες Ζωσιμάδαι, ἔξουσιν ἄξιον ἱερὸν ἐπαινέτην Κωνσταντῖνον τὸν ἐξ Οἰκονόμων, τὸν ἐπὶ λόγοις καὶ ἐπὶ κηρύγμασιν Ἱεροῖς διαπρέποντα ἐν τῇ τοῦ Χριστοῦ Ἁγίᾳ, Ἀποστολικῇ, Ὀρθοδόξῳ, Ἀνατολικῇ Ἐκκλησίᾳ. Ἐπινεύσει δὲ καὶ ἀδείᾳ τοῦ Μεγαλειοτάτου Βασιλέως καὶ Κυρίου Ἡμῶν, ἐκδιδόντες ἤδη τὴν πρὸς τοῦτο ἀπαιτουμένην ἔγκρισιν, ἐπειγόμεθα πρόθυμοι, ἵνα γνωστοποιήσωμεν αὐτὸ τοῦτο καὶ πρὸς τὴν Ὑμετέραν Αἰδεσιμότητα·

Ἐν Ἀθήναις τῇ 2 Ἀπριλίου 1842.

Ὁ Γραμματεὺς τῆς Ἐπικρατείας

Ἰ. ΡΙΖΟΣ.

---

**Περὶ τῆς τελετῆς Ἱεροῦ μνημοσύνου ὑπὲρ τῶν ἐν μακαρίᾳ τῇ λήξει ἀδελφῶν Ζωσιμάδων.**

---

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ε.

Ἀρ. 13465 / 845

# ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ.

## Η ΕΠΙ ΤΩΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ

### ΚΑΙ ΤΗΣ ΔΗΜΟΣΙΟΥ ΕΚΠΑΙΔΕΥΣΕΩΣ

## ΓΡΑΜΜΑΤΕΙΑ ΤΗΣ ΕΠΙΚΡΑΤΕΙΑΣ.

Πρὸς τὴν Πενταμελῆ Ἐπιτροπὴν, τὴν ἐπιτετραμμένην ἤδη τὴν ἐπιμέλειαν τῆς τελέσεως Ἱεροῦ μνημοσύνου ὑπὲρ τῶν ἀοιδίμων ἀδελφῶν Ζωσιμάδων.

ΜΕΤΑ τὰ ἐπισταλέντα εἰς ὑμᾶς διὰ τοῦ ἐπισήμου ἐγγράφου 2. ἱσταμένου, προσεπιστέλλονται καὶ τὰ ἑξῆς.

Ὁ Μεγαλειότατος Βασιλεὺς καὶ Κύριος ἡμῶν δι' Ὑψηλῆς Βασιλικῆς ἀποφάσεως ὑπ' ἀρ. 775, ηὐδόκησε νὰ διατάξῃ νὰ δαπανηθῶσιν ἀπὸ τοῦ Ἐκκλησιαστικοῦ Ταμείου 500 (πεντακόσιαι) δραχμαὶ διὰ τὸ ὑπὲρ τῶν ἐν μακαρίᾳ τῇ λήξει ἀδελφῶν Ζωσιμάδων Ἱερὸν μνημόσυνον. Τὰ χρήματα ταῦτα θέλουν δοθῇ εἰς τὴν Ἐπιτροπὴν ἐπὶ τακτικῇ ἀποδείξει, προσαρτηθησομένῃ εἰς τὸ ὑφ' ἡμῶν ἐκδοθησόμενον χρηματικὸν ἔνταλμα.

Ἐν Ἀθήναις τῇ 4 Ἀπριλίου 1842.

Ὁ Γραμματεὺς τῆς Ἐπικρατείας

**Ι. ΡΙΖΟΣ.**

Περὶ τῆς τελετῆς τοῦ ὑπὲρ τῶν ἀοιδίμων Ζωσιμάδων ἱεροῦ μνημοσύνου.

E.

Ἀρ. 13465 καὶ 13466

845

# ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ.

## Η ΕΠΙ ΤΩΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ

ΚΑΙ ΤΗΣ ΔΗΜΟΣΙΟΥ ΕΚΠΑΙΔΕΥΣΕΩΣ

## ΓΡΑΜΜΑΤΕΙΑ ΤΗΣ ΕΠΙΚΡΑΤΕΙΑΣ

Πρὸς τὴν πενταμελῆ Ἐπιτροπὴν τὴν ἐπιτετραμμένην ἤδη τὴν ἐπιμέλειαν τῆς ἐκτελέσεως τοῦ Ἱεροῦ μνημοσύνου ὑπὲρ τῶν ἀοιδίμων ἀδελφῶν Ζωσιμάδων.

ΚΑΘ Ὑψηλὸν Βασιλικὸν Διάταγμα, σήμερον ἐκδοθὲν, ὁ Μεγαλειότατος Βασιλεὺς καὶ Κύριος ἡμῶν ηὐδόκησε νὰ διατάξῃ νὰ πενθηφορήσωσιν ἐπὶ τρεῖς ἡμέρας πρὸς μακαρίαν τῶν ἀοιδίμων Ζωσιμάδων μνήμην, οἱ Καθηγηταὶ καὶ μαθηταὶ τοῦ Β. Πανεπιστημίου, καὶ οἱ Καθηγηταὶ, Διδάσκαλοι καὶ μαθηταὶ τῶν Γυμνασίων καὶ τῶν λοιπῶν Σχολείων τοῦ Κράτους.

Τὸ πένθος διὰ τοὺς ἐν τῇ Πρωτευούσῃ διαμένοντας ἄρχεται ἀπὸ τῆς αὔριον· οἱ Κύριοι, ὅ,τε Πρύτανις τοῦ Β. Πανεπιστημίου καὶ ὁ ἐν Ἀθήναις Γυμνασιάρχης, εἰδοποιη-

θησαν περὶ τούτου, καὶ ἐγνωστοποιήθη συγχρόνως εἰς αὐτούς, ὅτι ἡ πένθιμος ταινία θέλει δοθῆ ὑφ' ὑμῶν, τῶν ἐπιτετραμμένων τὴν φροντίδα τῆς ἐκτελέσεως τοῦ μνημοσύνου.

Ἐν Ἀθήναις τῇ 4 Ἀπριλίου 1842.

Ὁ Γραμματεὺς τῆς Ἐπικρατείας

Ἰ. ῬΙΖΟΣ.

Περὶ πένθους

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ΛΟΓΟΣ
# ΕΠΙΤΑΦΙΟΣ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ζ.

# ΛΟΓΟΣ

## ΕΙΣ ΤΟ ΜΝΗΜΟΣΥΝΟΝ ΤΩΝ ΑΕΙΜΝΗΣΤΩΝ

# ΖΩΣΙΜΑΔΩΝ.

(Ἐξεφωνήθη τῷ 1842 Ἀπριλίου 5, τῇ Ε΄. Κυριακῇ τῶν νηστειῶν, Ἀθήνησιν ἐν τῷ ναῷ τῆς Ἁγίας Εἰρήνης).

« Διῆλθεν εὐεργετῶν » (Πράξ. Ι. 38.).

§. α΄. ΤΩΝ ἀοιδίμων Ζωσιμάδων ἐπιτελοῦμεν σήμερον τὸ μνημόσυνον. Ὅσιον, ἀδελφοί, τὸ καθῆκον καὶ ἱερὸν, καὶ ἡ εὐγνωμοσύνη δικαία καὶ χριστιανικὴ, καὶ μάλιστα τοῖς ὀρθοδόξοις Ἕλλησι πρέπουσα. Ποθοῦσι τοὺς τελευτήσαντας εὐεργέτας οἱ εὐεργετηθέντες, καὶ δάκρυ θαλερὸν ἐπισπένδουσιν εἰς τὸν τάφον καὶ τὴν μνήμην αὐτῶν, ὡς φόρον εὐγνωμοσύνης· ἀλλὰ καὶ συνοδεύουσιν αὐτοὺς δι' εὐχῶν, καὶ συμπροπέμπουσιν εὐλαβῶς εἰς τὴν ἄνω ζωὴν ἐκδημήσαντας. Διὰ ταῦτα, μόλις τοῦ τελευταίου τῶν Ζωσιμάδων ὁ θάνατος ἐκηρύχθη, καὶ ἡ μνήμη τῆς ὅλης τῶν εὐεργετῶν ἀδελφότητος εὐλογεῖται πανδήμως. Καὶ πανήγυρις εὐαγὴς συγκροτεῖται, καὶ σύλλογος ἀριπρεπὴς συναθροίζεται καὶ σεβάσμιος. Ἤδη καὶ θυσία ἀναίμακτος

ὑπὲρ τῶν μακαρίων αὐτῶν ψυχῶν τελεσιουργεῖται, καὶ εὐχαὶ καὶ δεήσεις ἱλαστήριοι πρὸς Θεὸν ἐκφωνοῦνται, καὶ θυμίαμα λατρείας εἰς τὸ θεῖον τέμενος ἀνακαίεται, καὶ λαμπρὰ σελαγίζει φωτοχυσία, καὶ λαὸς βαρὺς αἰνοῦσι τὸν Κύριον. Ἐπιλαμπρύνει δὲ τὴν ἱερὰν σύναξιν καὶ θεία τις εὐδοκία, καθ' ἣν τὴν σήμερον ἡμέραν διετάχθη ἡ τοῦ μνημοσύνου τελετή, ὁπότε μετὰ τῆς μνήμης τῆς ὁσίας Μαρίας γεραίρει ἡ Ἐκκλησία καὶ τὸ ὄνομα τοῦ τὴν ὁσίαν κηδεύσαντος ἱερωτάτου ἐν Πατράσι Ζωσιμᾶ, ὡς ἂν συμπαρόντος μεθ' ἡμῶν καὶ συνικετεύοντος καὶ τοῦ θείου Πατρὸς ὑπὲρ τῆς ἀναπαύσεως τῶν ὁμωνύμων Ζωσιμάδων. Φαίνεται δέ πως καὶ ὁ καιρὸς τὸ πολυπληθὲς τῆς ὁμηγύρεως ὡραΐζων. Ἔαρος ὥρα, καὶ τὰ πλήθη τῶν πιστῶν, ὡς ἀπὸ σίμβλων, τῶν οἰκιῶν ἐκχυθέντα συνέδραμον, ὡς ἂν μέλισσαι, προσπετόμενα βοτρυδὸν εἰς τὰ οὐράνια ἄνθη τοῦ Παραδείσου τῆς Ἐκκλησίας. Ἐπειδὴ δὲ καὶ ἡμᾶς ἀνέστησεν ἡ ἀγάπη, καὶ πάρεσμεν λησμονήσαντες καὶ τοῦ γήρως καὶ τοῦ σώματος τὴν ἀσθένειαν, προθύμως λοιπὸν καὶ ἡμεῖς τῇ κατὰ δύναμιν φωνῇ περιβομβοῦμεν εἰς τὴν στεφανουμένην μνήμην τῶν ἐν Χριστῷ ἀναπαυθέντων Ζωσιμάδων, καὶ διηγούμεθα τὴν αὐτῶν ἀρετὴν εἰς δόξαν Θεοῦ καὶ ὠφέλειαν τῶν ζώντων ὁμογενῶν. Σεμνότατον τὸ ἐγχείρημα καὶ σπουδαῖον, ὁμολογοῦμεν· καὶ πολὺ τὴν ἡμετέραν ἀδυναμίαν ὑπερτερεῖ ἡ τοῦ λόγου ὑπόθεσις. Ὅθεν καὶ ἡ φιλανθρωπία τῶν προσκαλεσαμένων καὶ τῆς Σεβαστῆς Κυβερνήσεως ἡ διάταξις ἐξ ὀλίγων ἡμερῶν ἐποιήσατο τὴν πρόσκλησιν, οἷον ἀπολογίαν εἰς ἡμᾶς ἀπολείπουσα τὸ ἀπαράσκευον καὶ ἀνέτοιμον. Ἀλλ' ὁ ἐνισχύων τοὺς κεκμηκότας, καὶ διδοὺς ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ, δῴη κἀμοὶ λόγον ἐν ἀνοίξει τοῦ στόματός μου, καὶ καταρτίσαι τῶν

χειλέων μου τὸν φθόγγον ἐν Ἐκκλησίᾳ λαοῦ, ἐν καθέδρᾳ πρεσβυτέρων, εἰς αἴνεσιν καὶ δόξαν τοῦ προσκυνητοῦ καὶ παναγίου αὐτοῦ ὀνόματος.

§ β΄. «Διῆλθεν εὐεργετῶν». Οὕτως ὁ θεῖος Πέτρος ὕμνησε κηρύττων τὸν θεάνθρωπον Σωτῆρα τοῦ κόσμου «Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ· ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς πνεύματι ἁγίῳ καὶ δυνάμει· ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου». Καὶ τοῦτο τῆς χριστιανικῆς ἀγάπης λαμπρότατον γνώρισμα διέταξεν αὐτὸς ὁ τοῦ κόσμου Σωτὴρ εἰς πάντας τοὺς πιστοὺς αὐτοῦ μαθητάς, τὴν εὐεργεσίαν. «Ἀγαθοποιεῖτε, ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. — γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστί» (α). Ταύτην, ἀδελφοί, τὴν ἐντολὴν τῆς ἀγαθοεργίας ὀφείλει πᾶς χριστιανὸς τὸ κατὰ δύναμιν ἐκτελεῖν, μιμούμενος τὸν ὕψιστον τοῦ παντὸς εὐεργέτην, ἐφ᾽ ὅσον διαβαίνει τοῦ προσκαίρου τούτου βίου τὸν δρόμον· καὶ ταύτην ἐπλήρωσαν καὶ οἱ ἀοίδιμοι Ζωσιμάδαι, τοὺς ὁποίους σήμερον τιμῶμεν ὡς εὐεργέτας. Καὶ αὐτὸς, ὁ τῆς Ζωσιμαίας οἰκογενείας πεντάδελφος ἀριθμὸς, ὡς πιστὸς τοῦ Δεσπότου Χριστοῦ δοῦλος καὶ λάτρις καὶ μιμητής, «διῆλθεν εὐεργετῶν». Ἔστι δὲ τὸ εἶδος τῆς πρὸς τὸν πλησίον εὐεργεσίας διπλοῦν· τὸ μὲν περὶ τὸ σῶμα, τὸ δὲ περὶ τὴν ψυχήν. Τὸ τρέφειν καὶ ποτίζειν πεινῶντας καὶ διψῶντας, ἐνδύειν τοὺς γυμνούς, φιλοξενεῖν τοὺς ξένους, ἐπισκέπτεσθαι νοσοῦντας καὶ πεφυ-

(α) Λουκ. ϛ, 36.

λακισμένους, καὶ ὅσα τοιαῦτα ἔργα φιλανθρωπίας, ἀνήκουσι κυρίως εἰς τὴν σωματικὴν πρὸς τοὺς χρήζοντας ἀδελφοὺς διακονίαν. Τὸ δὲ συνεργεῖν εἰς τὴν ὀρθὴν τοῦ πλησίον παιδείαν καὶ ἀγωγὴν, καὶ γνῶσιν τῆς ἀληθείας, καὶ καταρτισμὸν ἠθῶν, καὶ σωτηρίαν ψυχῶν, καὶ στήριξιν τῆς πίστεως καὶ τὴν αὔξησιν τῆς βασιλείας τοῦ Θεοῦ, ταῦτα καὶ τὰ τοιαῦτα τὸν πνευματικὸν ἀναδεικνύουσιν εὐεργέτην, ὅστις τοσοῦτον ὑπερτερεῖ τὸν σωματικὸν, ὅσον ἡ ψυχὴ τὸ σῶμα. Ὅταν δέ τις ἀμφότερα εὐεργετῇ, φανερὸν ὅτι οὗτος γίνεται ὁ κράτιστος τῶν εὐεργετῶν. Καὶ τοιαύτη ἀνεφάνη ἡ Ζωσιμαία ἀδελφότης. Ἀμφότερα τὰ εἴδη τῆς εὐεργεσίας ἐπλήρωσε· καὶ ταῦτα, καθὼς πάλιν αὐτὸς ὁ Σωτὴρ διατάσσει διὰ τοῦ Ἀποστόλου «ὡς θυσίαν δεκτὴν εἰς ὀσμὴν εὐωδίας, εὐάρεστον τῷ Θεῷ» (α). Τοῦτο λοιπὸν, ἀδελφοί μου, κείσθω τῆς ὁμιλίας ὑπόθεσις· καὶ δεῦτε καὶ θεωρήσωμεν διὰ τοῦ λόγου, α) ποῖαί τινες ἦσαν αἱ τῶν Ζωσιμάδων εὐεργεσίαι· καὶ β'), ἂν ἦσαν τοιαῦται, ὁποῖαί εἰσιν αἱ εὐάρεστοι τῷ Θεῷ.

§. γ'. «Διῆλθεν εὐεργετῶν». Ὅλη σχεδὸν ἡ ζωὴ τῶν Ζωσιμάδων ὑπῆρξε στάδιον συνεχῶν εὐεργεσιῶν, ὁμοιάζουσα τὴν λαμπρὰν τοῦ δικαίου ἡμέραν ἐκείνην, περὶ ἧς εἶπεν ὁ θεῖος Δαβὶδ «Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος» (β). Ἰωάννινα, ἡ πρωτεύουσα τῆς Ἠπείρου, ὑπῆρξε τὸ γενέθλιον αὐτῶν ἔδαφος. Πόλις (ἵνα παραλίπωμεν τὰς ἄλλας αὐτῆς λαμπρότητας), μετὰ τὴν πτῶσιν μάλιστα τοῦ γένους ἐπίσημος δι' οὓς ἐγέννησεν ἄν-

---

(α) Φιλιπ. δ'. 18. Ἑβρ. ιγ'. 16.
(β) Ψαλμ. λς'. 26.

δρας συνεργοὺς εἰς ἀνόρθωσιν αὐτοῦ. Εἰς ταύτην τὴν παλαιὰν τῆς παιδείας ἑστίαν, ἔτι ἀπὸ τοῦ παρελθόντος αἰῶνος καὶ καθεξῆς, ἐδίδασκον οἱ Βησσαρίωνες, οἱ Σουγδουρεῖς, Μεθόδιοι οἱ Ἀνθρακῖται, οἱ Ἀναστάσιοι, οἱ Μπαλάνοι πατὴρ καὶ υἱὸς καὶ αὐτάδελφοι, καὶ εἴτινες ἄλλοι τῶν ἐπισήμων· καὶ αὐτὸς ὁ μέγας Εὐγένιος ἐκόσμησε τὴν ἐν Ἰωαννίνοις σχολὴν χρόνους ὁλοκλήρους πέντε· τῶν Ἰωαννίνων πολίτης ἐχρημάτισε καὶ ὁ πᾶσαν τὴν Δακίαν ἑλληνικῆς πληρώσας παιδείας φερώνυμος Λάμπρος ὁ Φωτιάδης. Ἐκ τῆς εὐκλεοῦς Ἠπείρου ἀνεβλάστησαν καὶ οἱ, μεταξὺ καὶ ἄλλων ἀλλαχοῦ τῆς δεδουλωμένης Ἑλλάδος Μαικηνῶν, ἐλευθεριώτατοι φανέντες ἄνδρες καὶ μεγαλωφελεῖς καὶ μεγαλοδάπανοι πρὸς ἁδρὰς καὶ φιλοτίμους ὑπὲρ τῆς ὠφελείας τοῦ γένους ἐπιδόσεις χρημάτων καὶ εἰσφοράς, οἱ παλαιοὶ Μαροῦτζαι, καὶ οἱ τῶν Ζωσιμάδων ζηλωταὶ Καπλάναι, καὶ Μάτζαι, καὶ Νίκοι, καὶ Δημήτριοι Παύλου, καὶ οἱ, περὶ ὧν ὁ ἔπαινος ἐν Ἀθήναις μάλιστα πολύς, ἀξιομακάριστοι Ῥιζάραι. Καὶ τούτων μὲν τῶν ἀγαθοποιῶν τὰ ὀνόματα, ὡς καλὸς ἀστέρων κύκλος, στεφανοῦσι δορυφοροῦντα τὴν μνήμην τῶν Ζωσιμάδων. Αὐτῶν δὲ τῶν μεγάλων εὐεργετῶν οἱ ἀείμνηστοι γονεῖς Παῦλος καὶ Μαργαρίτα ἐκαλοῦντο· καὶ τὸ γένος εἷλκον ἐκ κώμης Ἠπειρώτιδος Γ ρ α μ μ έ ν ο υ καλουμένης. Ἔμελλε δὲ ἄρα καὶ τὸ ὄνομα τοῦ παλαιοῦ τῶν προγόνων ἐδάφους ἐξαιρέτως ἐπαληθεύσειν εἰς τοὺς μέλλοντας γενήσεσθαι φ ι λ ο γ ρ α μ μ ά τ ο υ ς Ζωσιμάδας. Ἐκ τοιαύτης λοιπὸν ῥίζης ἀγαθῆς ἀγαθοὶ καρποὶ ἀνεβλάστησαν καὶ ἄλλα τέκνα, καὶ ἡ πεντὰς τῶν ἀειμνήστων ἀδελφῶν, Θεοδόσιος καὶ Ἀναστάσιος καὶ Νικόλαος καὶ Ζώης καὶ Μιχαῆλος, μετὰ τοῦ πρωτοτόκου καὶ νέου προτελευτήσαντος Ἰωάννου· οἵτινες, ἐν εὐσεβείᾳ καὶ νουθεσίᾳ Κυρίου τραφέντες, τὸν ἐμπορικὸν ἐξε-

λέξαντο βίον, καὶ φεύγοντες τὰς τῆς πατρίδος ἀνωμαλίας μεταβαίνουσιν εἰς τὴν φιλόξενον γῆν τῆς Ῥωσσίας, ὅπου τούτους ὡδήγησεν ὁ δάκτυλος τοῦ Θεοῦ. Ἐκεῖ ὁ πάντων τῶν ἀγαθῶν δεσπότης καὶ χορηγὸς ἐνεπίστευσεν αὐτοῖς τοῦ πλούτου τὰ τάλαντα, ἐπειπὼν καὶ πρὸς αὐτοὺς ἀοράτως «πραγματεύσασθε ἕως ἔρχομαι» (α)· καὶ ἐπραγματεύσαντο. Ἀδελφοὶ τὴν γένναν, ἀδελφοὶ τὴν εὐσέβειαν, ἀδελφὴν καὶ τὴν προαίρεσιν εἶχον, ἀδελφικῶς ἐνήργουν καὶ τῶν ἐμπιστευθέντων ταλάντων τὴν εἰς πολυειδῆ ἀγαθουργήματα πραγματείαν.

§. δ΄. Καὶ πρῶτον μὲν ἤρξαντο τὸ στάδιον τῆς εὐεργεσίας ἀπὸ τῆς γενεθλίου πατρίδος· δικαίως. Καθὼς τὰ καλλίκαρπα δένδρα πρῶτον παρατίθενται τοὺς καρποὺς εἰς τὴν φύσασαν καὶ θρέψασαν αὐτὰ γῆν, οὕτω καὶ εἴτις ἄλλος τῶν ἀγαθοεργῶν, καὶ αὐτὴ ἡ Ζωσιμαία ἀδελφότης ἐχαρίζετο τοὺς πρωτοφανεῖς τῆς εὐσεβείας καρποὺς εἰς τὴν ἐνεγκοῦσαν καὶ θρεψαμένην αὐτοὺς χώραν, τὰ Ἰωάννινα καὶ τὴν Ἤπειρον. Καὶ μακρὰν ἀπόντες παρῆσαν εἰς τὴν πατρίδα διὰ τῶν ἔργων, ἀφανῶς, ὡς αὔρα δροσώδης, ἐπιχέοντες εἰς τοὺς κεκακωμένους τὰς ζωογόνους τῶν χαρίτων πνοάς. Χιλιάδας ὅλας ταλήρων ἔπεμπον καθ᾿ ἕκαστον ἔτος, καὶ διὰ πιστῶν ἐπιτρόπων διένεμον τὴν ἀνήκουσαν βοήθειαν εἰς τοὺς πολλαχῶς βασανιζομένους. «Ποῦς ἐγίνοντο χωλῶν, ὀφθαλμὸς τυφλῶν, πατέρες ἀδυνάτων» (β), καὶ πολλῶν τῶν ἐν ποικίλαις συμφοραῖς ἀντιλήπτορες. Ἐκ τοῦ βάθους τῶν σκοτεινῶν φυλακῶν, ὅπου δέσμιος ἐστέναζε πολλάκις ἡ ἀθῳότης, ἀνέτελλον αἱ εὐλογίαι τῆς Ζωσιμαίας φιλαδελφίας. Καὶ ἐκ

---

(α) Λουκ. ιθ΄, 13.
(β) Ἰὼβ κθ΄. 15.

τῶν νοσοκομείων καὶ ἐκ τῶν οἰκιῶν καὶ ἐκ τῶν ἐργαστηρίων καὶ ἀπὸ τῶν σχολείων ἀνέβαινον πρὸς θεὸν αἱ ὑπὲρ τῶν Ζωσιμάδων εὐχαί. Εὐχαρίστουν οἱ νοσοῦντες τοὺς θεραπευτάς, οἱ ξένοι τοὺς ξενοτρόφους, οἱ πάμπτωχοι τοὺς ταμιούχους, αἱ χῆραι τοὺς προστάτας, παρθένοι πτωχαὶ τοὺς νυμφαγωγούς, οἱ ὀρφανοὶ τοὺς πατέρας, οἱ πατέρες τοὺς παιδαγωγούς, τὸ κοινὸν τῆς πόλεως τοὺς ποικίλους χαριτοδότας. Καὶ δι' ὅλου τοῦ ἔτους σταθερῶς διένεμον τὰς τοιαύτας εὐεργεσίας, καὶ ἄλλας δὲ πάλιν ἰδίως κατὰ καιροὺς ἐπισήμους ἐπιφαινόμενοι, ὡς ὁ ἄγγελος τῆς ἐπὶ τῇ προβατικῇ κολυμβήθρας. Ἀνέβαινε κατ' ἔτος ἐκ τῆς ξενιτείας ὁ Τωβὶτ εἰς τὴν Ἱερουσαλὴμ ἐν ταῖς ἑορταῖς (κατὰ τοῦ νόμου τὴν ἐντολὴν), προσφέρων οἷς καθήκει τὰς ἀπαρχὰς καὶ τὰς δεκάτας (α). Καὶ ὁ θεῖος Παῦλος ἔσπευδεν εὑρεθῆναι τὴν ἡμέραν τῆς πεντηκοστῆς εἰς Ἱερουσαλήμ, ὁπότε προσῆγε καὶ τὰς ἐκ τῆς λογίας τῶν ἀδελφῶν ἐλεημοσύνας καὶ προσφορὰς εἰς τοὺς ἐκεῖ θλιβομένους χριστιανούς (β). Παρομοίως καὶ οἱ τοῦ Παύλου μιμηταὶ κατὰ πᾶσαν ἑορτὴν μεγάλην ἐπεφαίνοντο παρήγοροι καὶ ἑστιάτορες καὶ χορηγοὶ τῶν πτωχῶν. Ἀπὸ τοῦ βουτύρου καὶ τοῦ γάλακτος τῆς θείας εὐλογίας, οὗ ἐχέοντο αἱ ὁδοὶ αὐτῶν (κατὰ τὴν ἔκφρασιν τοῦ θείου Ἰὼβ (γ)), ἐπλημμύρουν καὶ αἱ καλύβαι καὶ αἱ τράπεζαι τῶν πενήτων. Οὕτως ἐπεσκέπτοντο τὰς σωματικὰς ἀνάγκας τῶν ἀδελφῶν οἱ ἀοίδιμοι

---

(α) Τωβίτ. α, 6. 8·
(β) Πράξ. κ, 16. κδ, 17. α, Κορ. ιϛ. 3, 4.
(γ) Ἰὼβ, κθ, 6.



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ζωσιμάδαι, οὐχ ἕνα ἢ δύω ἢ δέκα ἐνιαυτοὺς, ἀλλὰ δι᾽ ὅλων περίπου πεντήκοντα. Καὶ ταύτας, οὐ μόνον εἰς τὰ Ἰωάννινα καὶ τὴν Ἤπειρον (ὅθεν ἤρχισαν), ἀλλὰ καὶ εἰς ἄλλας χώρας τῶν ὁμογενῶν. Καὶ εἰς τὴν Ἑλλάδα καὶ εἰς τὴν Ἀσίαν καὶ εἰς αὐτῆς τῆς, ἐν ᾗ κατῴκουν καὶ ἐπλούτουν, χώρας τοὺς προσερχομένους ἐνδεεῖς, ἀφθόνους τὰς δωρεὰς διεσκόρπιζον, μίαν ἐξαιρέτως νομίζοντες πατρίδα, τὴν ἀρετήν. Οὕτως οἱ φιλόπτωχοι Ζωσιμάδαι «ἐσκόρπισαν ἔδωκαν τοῖς πένησι, καὶ ἡ δικαιοσύνη αὐτῶν μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος» (α). Οὕτω «διῆλθον εὐεργετοῦντες.»

§. ε. Ἀλλ᾽ ἐὰν τοιαῦται καὶ τοσαῦται ἦσαν αἱ σωματικαὶ τῶν Ζωσιμάδων πρὸς τὸν πλησίον εὐεργεσίαι, ποῖαί τινες ἐγένοντο καὶ πόσαι αἱ πνευματικαί; Ἀλλ᾽ εἰς τοῦτο τὸ μέρος τοῦ λόγου φοβοῦμαι μὴ πάθω τὸ τῶν ἀτέχνων ζωγράφων ἐκείνων, οἵτινες, ὅταν ἐξ εἰκόνων μεταγράφωσι τὰς εἰκόνας, ἀποδίδουσιν αὐτὰς παρὰ πολὺ κατωτέρας τῶν ἀρχετύπων· οὕτω καὶ ἡμεῖς, τὰς παρὰ πολλῶν μνημονευομένας Ζωσιμαΐας ταύτας ἀγαθουργίας ἀμαθέστερον ἀποδόντες, μήπως ἐλαττώσωμεν τὴν ἀλήθειαν. Ὅμως σκιαγραφοῦμεν ὅσα οἴδαμεν. Εἴπομεν ὅτι τῶν πνευματικῶν εὐεργεσιῶν τὸ κεφάλαιον ὑπάρχει ὁ διὰ τῆς εὐσεβοῦς ἀγωγῆς καὶ διδασκαλίας καταρτισμὸς τῶν ἠθῶν, ὅστις ἀφορᾷ πρὸς τὴν μερικὴν καὶ τὴν κοινὴν τῆς πολιτείας εὐστάθειαν, καὶ τὴν αἰώνιον τῶν ψυχῶν σωτηρίαν· «ἡ γὰρ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης» (β). Καὶ ταύτας λοι-

---

(α) Ψαλ. ρια, 9.
(β) Α. Τιμοθ. δ. 8.

πὸν ἐξαιρέτως τὰς ἀγαθοεργίας ὁ Ζωσιμαῖος ζῆλος «διῆλθεν εὐεργετῶν. Οἱ ναοὶ τοῦ ὑψίστου ὑπάρχουσι πάσης εὐσεβοῦς πολιτείας τὸ συνεκτικώτατον κέντρον, τὸ λαμπρότατον δεῖγμα τῆς πίστεως τῶν κατοίκων, τὸ φανερὸν κατοικητήριον τοῦ ἀοράτου Θεοῦ, ὅπου συνερχόμενοι οἰκοδομούμεθα ἐν πίστει, φωτιζόμεθα ἐν πνεύματι, ἁγιαζόμεθα διὰ τῆς τελετουργίας τῶν θείων μυστηρίων, καὶ διδασκόμεθα διὰ τῶν Γραφῶν ὑπ' αὐτῆς τῆς φωνῆς τοῦ Αἰωνίου. Τίς ὑπὲρ πάντας τοὺς καθ' ἡμᾶς φιλοθέους συνέδραμεν εἰς οἰκοδομὴν καὶ εὐπρέπειαν τῶν θείων οἴκων; Οἱ Ζωσιμάδαι. Μαρτυροῦσιν ἐν Ἰωαννίνοις ἡ Μητροπολῖτις ἐκκλησία, καὶ ἡ τῆς ἁγίας Μαρίνης, καὶ ἄλλαι καὶ αὐτοῦ καὶ ἀλλαχοῦ τῆς Ἠπείρου καὶ τῆς Ἑλλάδος, καὶ εἰς αὐτὴν δὲ τὴν Ῥωσσίαν ἡ ἐν Νίζνῃ τῶν Γραικῶν. Τὰ Σχολεῖα ὑπάρχουσιν αἱ ἱεραὶ τῆς θείας καὶ ἀνθρωπίνης σοφίας ἑστίαι, τὰ καταγώγια τοῦ ἀνθρωπισμοῦ, τὰ σεμνότατα τεμένη τῆς ἀρετῆς, ἐν οἷς αἱ λογικαὶ ψυχαὶ διαπλάττονται καὶ ἠθοποιοῦνται. Τίς ὑπὲρ πάντας τοὺς φιλομούσους συνέδραμεν εἰς οἰκοδομὴν καὶ συντήρησιν σχολείων; Οἱ Ζωσιμάδαι. Αὐτοὶ τὴν παλαιὰν τῶν Ἰωαννίνων Σχολὴν ἐστήριξαν καὶ συνέπηξαν. Αὐτοὶ τῶν γεραρῶν καθηγητῶν τὰς συντάξεις δαψιλῶς ἐχορήγουν. Αὐτοὶ βιβλιοθήκην πολὺ τῆς ἀρχαίας πλουσιωτέραν συνέστησαν. Αὐτοὶ τοὺς ὑποτρόφους διέτρεφον μαθητάς. Αὐτοὶ τὰ βραβεῖα τῶν εὐδοκιμούντων διένεμον. Αὐτοὶ καὶ κοινὰ διδασκαλεῖα κατέστησαν, ἐν οἷς καὶ διδάσκαλοι καὶ μαθηταὶ καὶ παῖδες ὀρφανοὶ τῆς πατρικῆς αὐτῶν ἀπήλαυον προμηθείας. Κἂν ἄλλη τις ἀλλαχόθεν ἑλληνικὴ Σχολὴ τὴν παρ' αὐτῶν ἐζήτει συνδρομήν, οὐδ' ἐκείνη τῆς αἰτήσεως ἀπετύγχανε. Τίς διέτρεφε δι' οἰκείων ἐξόδων νέους εὐσεβεῖς καὶ χρηστοήθεις σπουδάζοντας εἰς τὰς ἐπισήμους τῆς Εὐ-

ρώπης Ἀκαδημίας; Οἱ Ζωσιμάδαι. Κατεστράφη (κρίμασιν οἷς οἶδε Κύριος,) ἡ καλὴ τῶν Ἰωαννίνων πόλις, συγκαταστρέψασα καὶ θάψασα ἐν τοῖς ἐρειπίοις καὶ τὸν βαρὺν καὶ δυσώνυμον αὐτῆς τύραννον. Τίς μεταξὺ τῶν πρώτων πολιτῶν ὥρμησεν εἰς ἀνέγερσιν τῶν προτέρων εὐαγῶν σκηνωμάτων τῆς ἀγαθοεργίας; Οἱ Ζωσιμάδαι. Τὸ δὲ μέγιστον καὶ κράτιστον, ὅτι καὶ κληροδοτήματα κατέθηκαν ἐν ταῖς δημοσίαις τραπέζαις καὶ εἰς αὐτὴν πρὸ μικροῦ τὴν τράπεζαν τῆς Ἑλλάδος, μεγάλα κεφάλαια χρημάτων, ἀφ' ὧν μέλλουσι διηνεκῶς συντηρεῖσθαι πολλαχοῦ καὶ ναοὶ καὶ σχολεῖα καὶ νοσοκομεῖα καὶ ποικίλαι πρὸς τοὺς πένητας χορηγίαι. Οὕτως «ἐπληθύνθη καὶ ἐπερίσσευσεν εἰς πᾶν ἔργον ἀγαθόν» (α) ὁ ζῆλος ὁ Ζώσιμος· οὕτω «διῆλθεν εὐεργετῶν». Τὸ δ' ἐφεξῆς ὁποῖον;

§. ς'. Μέγα βοήθημα πρὸς τοὺς ἐν Αἰγύπτῳ αἰχμαλώτους ἀδελφοὺς οἱ ἐν Ἱεροσολύμοις Ἰουδαῖοι ἠθέλησαν ἀποστεῖλαι τὰ ἱερὰ καὶ ἱστορικὰ βιβλία, ἐξ ὅσων συνήθροισεν εἰς τὴν μεγάλην βιβλιοθήκην πρῶτον ὁ Νεεμίας καὶ ὕστερον Ἰούδας ὁ Μακκαβαῖος. Ὅσων χρήζετε βιβλίων (ἔγραφον οἱ ἐκ τῶν Ἱεροσολύμων πρὸς τοὺς μακρὰν ἀπόντας ὁμογενεῖς), πέμψατε πρὸς ἡμᾶς ἀνθρώπους εἰς μετακόμισιν αὐτῶν. «Ὧν ἂν χρείαν ἔχητε, τοὺς ἀποκομιοῦντας ὑμῖν ἀποστέλλετε» (β). Ἀλλ' οἱ ἀοίδιμοι Ζωσιμάδαι δὲν μετεκάλουν τοὺς ἀποκομιοῦντας, ἀλλ' αὐθόρμητοι ἀπέστελλον αὐτοὶ βιβλίων μυριάδας πρὸς τοὺς αἰχμαλώτους ἀδελφούς, καὶ πρὶν ἐκεῖνοι ζητήσωσιν. Ἐγνώριζον οἱ μακάριοι καὶ τὴν χρείαν τῶν ὁμογενῶν καὶ τὸ

(α) Β'. Κορ. Θ'. 8-11.
(β) Β, Μακκαβ. β. 13-15

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

μέγιστον ὄφελος τὸ ἐκ τῶν βιβλίων. Ἀνοίγουσι λοιπὸν τὴν μεγάλην τῆς καρδίας αὐτῶν καὶ πλουσίαν βιβλιοθήκην, ἥτις περιεῖχεν ἓν καὶ μόνον βιβλίον, ὅλων τῶν ὠφελίμων καὶ σοφῶν καὶ ὑψηλῶν γνώσεων περιεκτικὸν, τὸ βιβλίον τῆς ἀγάπης, καὶ ἐκ τούτου λαβόντες τὰς ἀφορμὰς πολλαπλασιάζουσι διὰ τοῦ τύπου τὰς βίβλους τῆς ἀναγνώσεως. Καὶ γίνονται ὡς ἂν ἄλλοι τινες Ἰωσὴφ, πάγκαλοι καὶ βασιλικοὶ σιτοδόται, οὐχὶ τῆς Αἰγύπτου, ἀλλὰ πάσης τῆς Ἑλλάδος, καὶ τρέφουσι τοὺς ἰδίους αὐτῶν ἀδελφοὺς, τοὺς ὁμογενεῖς, οὐχὶ σῖτον σωματικὸν, ἀλλ' ἄρτον ψυχοτρόφον, «τὸν στηρίζοντα καρδίαν», τὸν ἄρτον τῆς θείας γνώσεως καὶ σοφίας, τὸν ἐντεθησαυρισμένον εἰς τὰ βιβλία τὰ διδακτικὰ καὶ θεάρεστα καὶ ψυχοσωτήρια. Ταῦτα σιτομετρεῖν ἐπεχείρησαν ἄφθονα καὶ δαψιλῆ πρὸς τοὺς ὁμογενεῖς οἱ τῷ ὄντι βιβλιακώτατοι Ζωσιμάδαι. Ἄγετε λοιπὸν οἱ τῆς Εὐρώπης βιβλιοπῶλαι, ὅσας καλὰς τῶν θείων Γραφῶν καὶ ὅσας τῶν ἀρχαίων ἐνδόξων συγγραφέων ἐκδόσεις, πέμπετε ταύτας ὅπου κελεύουσιν οἱ Ζωσιμάδαι. Ἄγετε τυπογράφοι, παρασκευάζετε τὰ πάμφωνα τῆς μνημοσύνης ὄργανα πρὸς ἔκδοσιν νεωτέρων συγγραμμάτων ἐπωφελῶν. Ἄνδρες ὁμογενεῖς, ἐργάται τῆς σοφίας, προσάγετε τὰ ἐν γωνίᾳ καὶ παραβύστῳ κείμενα χειρόγραφα, ἵνα ἴδωσι τὸ φῶς. Τὰ καρποφόρα δράγματα τῆς ὑμετέρας φιλοπονίας μὴ μενέτωσαν ἐντὸς τῶν ἀσταχύων ἀτριβῆ καὶ ἄχρηστα· τρεφέτωσαν καὶ ταῦτα τὸ πανελλήνιον τὴν ἀδάπανον τροφήν. Συνάχθητε πλοῖα, ναυλοῦσθε, εὐπλοεῖτε, μεταφέρετε εἰς τὴν Ἑλλάδα μὴ φόρτον ἐμπορικὸν, μὴ πλοῦτον κερδῷον, μὴ χρυσίον καὶ ἀργύριον φθαρτὸν, ἀλλὰ τὰ δῶρα τῆς ἁγνῆς καὶ ἀμαράντου σοφίας, τὸν θησαυρὸν τῶν γραμμάτων καὶ τῶν ἐπιστημῶν. Δέχεσθε οἱ κατὰ τόπους τῆς Ἑλλάδος καταστάντες ἐπίτροποι, καὶ διανέμετε μὴ μό

νον εἰς ταύτην ἢ ἐκείνην τὴν πόλιν, ἀλλὰ πρὸς πάντας καὶ πανταχοῦ, εἰς βιβλιοθήκας, εἰς σχολεῖα, εἰς διδασκάλους, εἰς μαθητὰς, εἰς ἐγγραμμάτους πολίτας, πλουσίους τε καὶ πένητας. «Καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε ἄνευ ἀργυρίου καὶ τιμῆς» (α). Δωρεὰν διανέμουσιν ἃς ἔλαβον παρὰ Θεοῦ δωρεὰς οἱ ἀοίδιμοι Ζωσιμάδαι, καὶ δωρεὰν ἄδολον καὶ ἀκραιφνῆ καὶ γνησίαν Ἑλληνικὴν καὶ ἀξίαν αὐτῶν τε τῶν δωρητῶν καὶ τῶν δωροδόχων. Ἀπὸ τοῦ 1796 μέχρι χθὲς καὶ πρώην, ὡς ὑετοῦ πρωΐμου καὶ ὀψίμου σταγόνες, ὡς ψεκάδες εὐλογίας, ὤμβριζον κατὰ καιροὺς πεμπόμενα πρὸς τοὺς Ἕλληνας τὰ ψυχοτρόφα δῶρα τῆς Ζωσιμαίας φιλαδελφίας. Καὶ αὐτὸ τὸ τέλος τῆς ζωῆς τοῦ μείναντος, ὡς ἀντιπροσώπου τῆς προαπελθούσης ἀδελφότητος, Νικολάου, ἐστεφανώθη ἐνταῦθα ἐν Ἀθήναις διὰ τῆς λαμπρᾶς καὶ πλουσίας ἐκδόσεως τοῦ Εὐαγγελικοῦ κηρύγματος. Οὕτως ὁ πένταθλος καὶ πολύδωρος τῶν Ζωσιμάδων βίος «διῆλθεν εὐεργετῶν».

§. ζ'. Εἴδαμεν εἰς τὸ πρῶτον τοῦ λόγου μέρος, ὡς ἐν σκιαγραφίᾳ, ποῖαί τινες ἦσαν αἱ Ζωσιμαῖαι εὐεργεσίαι. Ἴδωμεν ἤδη καὶ εἰς τὸ δεύτερον, πόσον ἦσαν εὐάρεστοι τῷ Θεῷ.

§. η'. «Διῆλθεν εὐεγετῶν»· Θυσίαν ἁγίαν, δεκτὴν, εὐάρεστον τῷ Κυρίῳ, ἀπαιτεῖ τὴν εὐποιΐαν ἡ θεία ἐντολή. Καὶ τοιαύτην προσήνεγκαν οἱ ἀοίδιμοι Ζωσιμάδαι. «Χριστοῦ εὐωδία ἐσμὲν οἱ πιστοὶ», κατὰ τὸν θεῖον Ἀπόστολον (β), καὶ τὰς πνευματικὰς λοιπὸν τῆς εὐποιΐας

---

(α) Ἡσαΐ· νέ, 1.
(β) Β. Κορ. Β. 15.

προσφορὰς ὀφείλομεν προσφέρειν εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ. Μαρία, ἡ τοῦ Λαζάρου ἀδελφή, εὐγνωμονοῦσα πρὸς τὸν Σωτῆρα Χριστὸν διὰ τοῦ ἀδελφοῦ τὴν ἀνάστασιν, προσήνεγκεν αὐτῷ πολύτιμον μύρον, μικρὸν χαριστήριον. «Ἡ οὖν Μαρία λαβοῦσα λίτραν μύρου νάρδου πιστικῆς, πολυτίμου, ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ — καὶ κατέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἀνακειμένου —· ἡ δὲ οἰκία ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου» (α). Προς τὸ μύρον, ἀγαπητοί, παραβάλλουσιν οἱ θεῖοι πατέρες τῆς ἐλεημοσύνης καὶ ἀγαθοεργίας τὴν ἀρετήν, καὶ πρὸς τὰς ἁγίας μυροφόρους, τὰς εὐεργετικὰς τῶν φιλαδέλφων ψυχάς. Ἐξέστω λοιπὸν ἵνα καὶ τὴν φιλόχριστον τῶν Ζωσιμάδων προαίρεσιν παραβάλωμεν, κατά τινας περιστάσεις, ὡς μιμήτριαν τῆς τὴν ἀγαθὴν μερίδα ἀναφαίρετον ἐκλεξαμένης Μαρίας, τῆς τοῦ Λαζάρου ἀδελφῆς. Δύω δὲ μόνον περιστατικὰ σημειοῦμεν ἐκ τῆς ἀχράντου καὶ σεπτῆς ἐκείνης μυραλοιφίας. Πρῶτον, ὅτι ἡ Μαρία ἤλειψε «τοὺς πόδας καὶ τὴν κεφαλὴν τοῦ Θεανθρώπου, μύρῳ πολυτίμῳ καὶ πιστικῷ (ἀδόλῳ δηλονότι καὶ μετὰ πίστεως παρεσκευασμένῳ, κατὰ τὸν ἱερὸν Θεοφύλακτον), ἡ δὲ οἰκία ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου»· καὶ δεύτερον, ὅτι προσέφερε τὸ χάρισμα τοῦ μύρου ἡ ἀποστολικὴ μαθήτρια κατὰ πρῶτον, ὡς δεῖγμα εὐγνωμοσύνης διὰ τὴν ἀνάστασιν τοῦ ἀδελφοῦ. Πρὸς τὰ δύω ταῦτα περιστατικὰ θεωρούμεναι καὶ αἱ Ζωσιμαῖαι εὐεργεσίαι φαίνονται ὅτι ἦσαν εὐάρεστοι τῷ Θεῷ, πρῶτον ὡς ἐκ τῆς ἀξίας, καὶ δεύτερον, ὡς ἐκ τοῦ τέλους.

§. θ. Καὶ τὸ πρῶτον μὲν ἀποδείκνυται ἐκ τῶν ἰδιωμά-

---

(α) Ἰωάν. ιβ. 3. Ματθ. κς. 7.

των ἐκείνου τοῦ μύρου. Μερίζοντες καὶ οἱ φιλόχριστοι Ζωσιμάδαι τὸ εὐῶδες χρίσμα τῆς εὐποιΐας, τὸ μὲν πρὸς σωματικὰς ἀγαθοεργίας, ὡς τὸ μύρον τὸ χεόμενον εἰς τοὺς πόδας, τὸ δὲ πρὸς πνευματικὰς, ὡς τὸ κενούμενον ἐπὶ τῆς κεφαλῆς τοῦ Κυρίου, προσέφερον αὐτὸ καὶ κατὰ τὴν ἐσωτερικὴν ἀξίαν παρόμοιον πρὸς τὸ τῆς Μαρίας. Βαρύτιμον ὑπῆρχεν ἐκεῖνο τὸ μύρον· πολύτιμοι καὶ τῶν Ζωσιμάδων αἱ ἀγαθοεργίαι διὰ τὴν ἐνάρετον, μεθ' ἧς αὐτὰς προσέφερον, διάθεσιν, καὶ πρώτιστα καὶ μάλιστα διὰ τὴν μετριοφροσύνην. Ἄτυφοι καὶ ταπεινοὶ προσπίπτοντες εἰς τοὺς πόδας τοῦ κοινοῦ Δεσπότου τῶν ὅλων, εὐχαρίστουν μετὰ δακρύων, διότι ἠξιώθησαν γενέσθαι ταμίαι καὶ διανομεῖς τῶν οὐρανίων αὐτοῦ δωρεῶν, λέγοντες πρὸς ἑαυτὸν ἕκαστος «Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι;» καὶ, «Τί γὰρ ἔχω ὃ οὐκ ἔλαβον;» (α). Λιπαρὸν καὶ λεῖον ὑπῆρχε τὸ μύρον· ἱλαροὶ καὶ φαιδροὶ διένεμον καὶ οἱ Ζωσιμάδαι τὰς λιπαρὰς αὐτῶν χάριτας, καὶ μήτ' ἐκ λύπης μήτ' ἐξ ἀνάγκης, ἀλλὰ καὶ προλαμβάνοντες τὰς αἰτήσεις· διὸ καὶ ἠγαπῶντο παρὰ τοῦ Κυρίου. «Ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός» (β). Πιστικὸν ὑπῆρχε τὸ μύρον. ἄδολον καὶ καθαρὰν, καὶ πάσης ἁρπαγῆς καὶ ἀδικίας ἄμικτον προσήνεγκαν καὶ αὐτοὶ τὴν θυσίαν τῶν ἀγαθουργιῶν. Δὲν διέκοπτον τὰς εὐλογίας τῶν εὐεργετουμένων οἱ στεναγμοὶ τῶν ἠδικημένων· οὐδ' ἀντήχουν τὰ δικαστήρια ἐκ τῶν ὀνομάτων τῶν Ζωσιμάδων, ἀντιφωνοῦντα πρὸς τὰς ὑπὲρ αὐτῶν τῆς ἐκκλησίας εὐχάς. Ἀλλ' ἐτίμων τὸν Κύριον ἀπὸ δικαίων πόνων προσ-

---

(α) Ψαλμ. ρίς, 12 —. Ῥωμ. ια, 13. (β) Β, Κορ. θ. 7.

φέροντες οὐχὶ τοῦ Κάϊν, ἀλλὰ τοῦ Ἄβελ ὁλοκαυτώματα. ἐφ' οἷς ἐπεῖδε κύριος, καὶ ὠσφράνθη ὀσμὴν εὐωδίας». Καὶ αὐτὴ ἡ λιτότης τῆς ἀπερίττου ζωῆς αὐτῶν ὡμοίαζε τὴν ὑπόπικρον γεῦσιν τοῦ ῥιζίου καὶ φυτοῦ τῆς ἀρωματικῆς νάρδου, ἐξ ἧς ἡ μυρεψικὴ κατεσκεύασεν ἐκεῖνο τὸ βασιλικώτατον μύρον. Ἂν εἶχον ἄλλοι τὸν πλοῦτον τῶν Ζωσιμάδων, ἔμελλον αὐτὸν αὐτοὶ πρῶτα τοὐλάχιστον ἀπολαύειν πρὸς ἰδίαν εὐπάθειαν καὶ τρυφήν. Ἀλλ' οὗτοι οἱ μακαρῖται δὲν μετεχειρίζοντο δι' ἑαυτοὺς ἐκ τῶν ἰδίων, εἰ μὴ μόνον τὰ πρὸς αὐτάρκειαν ἀναγκαῖα.. Καὶ οὔτ' εἰς γάμου κοινωνίαν ἦλθον, οὔτε τέκνων ἐγένοντο γεννήτορες, διότι νυμφευθέντες ἐκ συμφώνου τὴν πρὸς τὴν πατρίδα καὶ τὸν πλησίον ἀγάπην, υἱοθέτησαν ὅλους τοὺς ὀρφανοὺς καὶ πτωχοὺς παῖδας τῶν ὁμογενῶν, ὧν ἐφρόντιζον τῆς ἀνατροφῆς. Ὅθεν οὐδ' οἴκους εἶχον ὑψωρόφους, οὔτε κατ' οἶκον πολυτελείας, οὔτε πρὸς τὰ ἐκτὸς φαντασίας, οὔτε πληθὺν ἀνδραπόδων καὶ τετραπόδων, οὔτε φλεγμαινούσας τραπέζας καὶ πλατυγάστορας ἀπολαύσεις, « καταλύοντες ἕνεκεν βρώματος τὸ ἔργον τοῦ θεοῦ « (α), οὔτε χώρας καὶ γαίας μακράς, ἐπικαλούμενοι καὶ στηλογραφοῦντες ἐπ' αὐτῶν τὰ ὀνόματα αὐτῶν (β)· ἀλλὰ καί τοι πόλεις μεγάλας οἰκοῦντες, οἱ μὲν τὴν Μόσχαν, οἱ δὲ τὴν Νίζναν, διῆγον ἀφελεῖς καὶ μέτριοι καὶ ἀπέριττοι· ὥστε, ὅστις ἔβλεπε τὰς κατοικίας καὶ τὴν ἄλλην διαγωγὴν τῆς περικλεοῦς τῶν Ζωσιμάδων ἀδελφότητος ἔμελλεν ἀπορεῖν, πῶς, ἐν ᾧ ἔβαλλε πλεῖον πάντων τῶν βαλλόντων εἰς τὸ γαζοφυλάκιον τῆς φιλαδελφίας, ἔπειτα ἔζη βίον, τρό-

---

(α) Ῥωμ. ιδ', 20. (β) Ψαλμ. μή. 11.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

πον τινὰ, παρόμοιον τῆς πτωχῆς ἐκείνης χήρας, ἥτις ἔβαλε λεπτὰ δύο. (α).

ζ. ι. Πάλιν ἀπὸ τῆς ὀσμῆς τοῦ μύρου τῆς Μαρίας «ἐπληρώθη ἅπασα ἡ οἰκία.»· καὶ ἐκ τῆς εὐώδους τῶν θεοφιλῶν Ζωσιμάδων εὐεργεσίας ἐπληρώθη πᾶσα ἡ Ἐκκλησία. Ναὶ ἀγαπητοὶ, εἰς πᾶσαν τὴν Ἐκκλησίαν τῶν ὀρθοδόξων διῆλθον αἱ Ζωσιμαϊκαὶ ἀγαθοεργίαι. Δὲν ὑπάρχει ἐπισκοπὴ, ὅπου δεν εὑρίσκονται τὰ ὑπ' αὐτῶν ἐκδοθέντα ψυχωφελέστατα Κυριακοδρόμια τῶν Εὐαγγελιστῶν καὶ Ἀποστόλων. Δὲν ὑπάρχει πόλις, ὅπου δὲν ἐφάνη ἡ ἔκδοσις τῆς θείας Γραφῆς καὶ ἡ Φιλόθεος Ἀδολεσχία. Δὲν ὑπάρχει Σχολεῖον Ἑλληνικὸν, τὸ ὁποῖον δὲν στολίζουσιν οἱ τόμοι τῆς πολυμαθοῦς Ἑλληνικῆς Βιβλιοθήκης. Παραλείπομεν τῶν ἄλλων τῶν δωροφορηθέντων βιβλίων τὰ πολυάριθμα εἴδη. Καὶ εἰς μοναστήρια καὶ εἰς ἱεροὺς ναοὺς κατὰ τόπους δείκνυνται τῶν Ζωσιμάδων ἀφιερώματα. Ἀπὸ τοῦ Σινᾶ καὶ τῆς Ἱερουσαλὴμ ἄχρι καὶ αὐτῶν τῶν τῆς Ἑλλάδος ἐσχατιῶν, καὶ ἀπὸ Βοῤῥᾶ μέχρι καὶ τῶν Ἡρακλείων στηλῶν, ὅπου ὑπάρχουσιν ὀρθόδοξοι ὁμογενῶν ἐκκλησίαι, φαίνονται καὶ τῆς Ζωσιμαίας ἀδελφότητος ἢ βιβλία, ἢ ἄλλα ἀναθήματα. Καὶ αὐτὸ δὲ τὸ Σχολεῖον τῶν Ἰωαννίνων, οὗτινος ἦσαν μάλιστα κηδεμόνες καὶ φροντισταὶ, πολλὴν ἔφερεν εἰς τὸ γένος καρποφορίαν, δι' οὓς ἐξέπεμψε πολλαχοῦ τῆς Ἑλλάδος διδασκάλους πεπαιδευμένους· ἀλλὰ καὶ τῶν διαδιδομένων εἰς τοὺς πένητας εὐεργετημάτων πολλοὶ κατὰ καιροὺς εἰς τὴν πόλιν ἐκείνην παρατυγχάνοντες ξένοι, ἢ μετέσχον καὶ αὐτοὶ, ἢ τὴν γνῶσιν λαβόντες ἀπῆλθον, κηρύττοντες μακρὰν τὴν φιλαδελφίαν

---

(α) Μάρκ. ιβ'. 42.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τῶν φιλοχρίστων Ζωσιμάδων. Ὥστε, ἂν ἡ τὴν οἰκίαν ἅπασαν εὐωδιάσασα πανάχραντος καὶ ὑψηλὴ τῆς Μαρίας μυραλοιφία ἔλαβεν ἐξαίρετον γέρας ὑπὸ τοῦ Θεανθρώπου ἵνα λαληθῇ, «ὅπου ἂν κηρυχθῇ τὸ εὐαγγέλιον ἐν ὅλῳ τῷ κόσμῳ, εἰς μνημόσυνον αὐτῆς» (α), ἀλλὰ καὶ τῶν φιλοχρίστων Ζωσιμάδων ἡ τὴν ἐκκλησίαν ἅπασαν εὐωδίας ἀναπλήσασα προσφορὰ δὲν ἔμεινε θεόθεν ἀβράβευτος· διότι καὶ αὕτη (καθὼς εἶπεν ὁ Παῦλος περὶ τῆς εἰς θεὸν πίστεως τῶν Θεσσαλονικέων) «ἐν παντὶ τόπῳ ἐξελήλυθεν» (β), εἰς μνημόσυνον αὐτῶν.

§. ιά. Τελευταῖον, ἡ ἁγία τοῦ Λαζάρου ἀδελφὴ προσέφερε τὸ μύρον σημεῖον εὐγνωμοσύνης διὰ τὴν ἀνάστασιν τοῦ ἀδελφοῦ. Καὶ ἡ Ζωσιμαία ἀδελφότης εὐηργέτει καθυπηρετοῦσα τῇ αἰωνίῳ βουλῇ τοῦ Ὑψίστου πρὸς ἀνάστασιν τῶν πεπτωκότων ὁμογενῶν ἀδελφῶν· καὶ τοῦτο εἴπομεν σκοπιμώτατον τέλος, ὅθεν φαίνονται αἱ τῶν ἀνδρῶν ἀγαθοεργίαι εὐάρεστοι γενόμεναι τῷ Θεῷ. Ὁ αἰώνιος Παντοκράτωρ, ὁ κατέχων τὸ πᾶν καὶ τὸν γύρον τῆς γῆς, καὶ φυτεύων καὶ ἐκριζῶν καὶ οἰκίας καὶ ἔθνη καὶ βασιλείας, ὁ καθαιρῶν δυνάστας ἀπὸ θρόνων καὶ ἀνυψῶν τοὺς ταπεινούς, εἶχε προωρισμένην καὶ τοῦ διὰ τὰς ἁμαρτίας αὐτοῦ ταπεινωθέντος ἑλληνικοῦ γένους τὴν ἀνάστασιν. καὶ ταύτης τὰ θεμέλια κατέβαλεν ἔτι πόῤῥωθεν. Ἔθλιβεν ὁ Φαραὼ τὸ ἔθνος τῶν Ἑβραίων παντοιοτρόπως, σπουδάζων τὴν ὀλιγόστευσιν καὶ ταπείνωσιν αὐτῶν. Ἀλλὰ τὸ φοβερώτατον καὶ ὠμότατον τῆς καταδυναστείας αὐτοῦ μέσον ὑπῆρξεν ἡ ἐπίνοια, τὴν ὁποίαν ἐσοφίσθη πρὸς ἐξο-

---

(α) Ματθ. κϛ΄. 13.
(β) Α. Θεσσαλ. ά. 8.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

λόθρευσιν παντὸς ἀρσενικοῦ βρέφους τῶν Ἑβραίων. Ὅθεν καὶ διέταξε τὰς μαίας τῆς Αἰγύπτου λέγων, «Ὅταν μαιοῦσθε τὰς ἑβραίας, ἐὰν ἄρσεν ᾖ, ἀποκτείνατε αὐτό» (α). Τοιοῦτός τις κίνδυνος περιέσχε καὶ τοὺς ὀρθοδόξους Ἕλληνας μετὰ τὴν ἅλωσιν. Ἠθέλησε καὶ ὁ κατακτητὴς ἀποπνίξαι πᾶν ἀῤῥενωπὸν καὶ γενναῖον φρόνημα τῶν Ἑλλήνων, καὶ τὸ τοῦ νοὸς ἐμβριθὲς περὶ τὰς πράξεις καὶ ἀνδρικὸν, καὶ τὸ ῥωμαλέον καὶ καρτερικὸν καὶ φερέπονον ἐν ταῖς συμφοραῖς, τὸ ὁποῖον αὐξάνεται καὶ τρέφεται ὑπὸ τῆς σώφρονος παιδείας καὶ τῆς εὐσεβοῦς ἡμῶν πίστεως. Διὰ τοῦτο κατετρέχοντο καὶ αἱ ἐκκλησίαι καὶ τὰ σχολεῖα τῶν ὀρθοδόξων. Ἀλλ' ἡ πανάγαθος Πρόνοια, καθὼς ἐφώτιζε τὰς μαίας καὶ ἐζωογόνουν κρυφίως τὰ ἄρσενα τῶν Ἑβραίων, ὡσαύτως διέταξε καὶ ψυχὰς εὐσεβεῖς καὶ φιλοθέους, καὶ ταύτας οὐκ Αἰγυπτίας ἀλλ' ὁμογενεῖς καὶ ὁμόφρονας, αἵτινες ἐν ταπειναῖς ἐκκλησίαις καὶ ἀπῳκισμένοις μοναστηρίοις, καὶ ἐν σχολαῖς μικραῖς καὶ πενιχραῖς, διὰ τῆς ἱερᾶς διδασκαλίας ἐμαίευον εἰς ζωὴν τὰ πάτρια τῶν αἰχμαλώτων Ἑλλήνων φρονήματα. Ἀλλὰ καὶ εἰς ἄλλους τόπους ἑλληνικοὺς, ὅσους κατεῖχον μέχρι τινος ἄλλαι τινες ἑτεροδόξων χριστιανῶν δυναστεῖαι, ὡς εἰς νήσους τινας τοῦ Αἰγαίου καὶ τὴν τοῦ Πέλοπος, καὶ εἰς ὄρη δέ τινα τῆς Ἑλλάδος ἀδούλωτα διακαρτερήσαντα, οἷον τοῦ Σουλίου καὶ τῆς Μάνης καὶ τῶν Σφακίων, εὑρίσκοντο τοιαῦται μαιεύτριαι ζωογονοῦσαι τὴν πάτριον τῶν ἑλληνικῶν φρονημάτων διαδοχήν. Καὶ κατ' αὐτὴν δὲ τὴν δυτικωτέραν Εὐρώπην ἐφάνησαν τοιαῦται μαῖαι τῶν καταφευγόντων ὀρθοδόξων Ἑλλήνων

---

(α) Ἐξόδ. ά, 16.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἠπιόδωροι κουροτρόφοι. Εἰς τὴν Ἑνετίαν ὁ Κερκυραῖος Θωμᾶς ὁ Φλαγγῖνος συνέστησεν ἰδίᾳ δαπάνῃ τὸ Φλαγγινιανὸν φροντιστήριον εἰς ἐκπαίδευσιν τῶν Ἑλλήνων· καὶ ἄλλο πάλιν ὅμοιον ἐν Παταβίῳ, τὸ Κωττουνιανὸν, ὁ ἐκ Βεῤῥοίας Ἰωάννης ὁ Κωττούνιος, καὶ τρίτον αὐτοῦ πάλιν, τὸ Κύπριον, ὁ Κύπριος Πέτρος· καὶ εἰς ταῦτα λοιπὸν ἐμαιεύοντο ζωογονούμεναι ψυχαὶ ἑλληνικαί. Εἰ δέ τινες ὑπὸ τοῦ ψυχοφθόρου δαίμονος ἐν τῷ μαιοῦσθαι συνεπνίγοντο, ἀλλ' ὅμως ἐν τοῖς σῳζομένοις ἐτελεῖτο ἡ βουλὴ τοῦ Ὑψίστου. Προϊόντος τοῦ χρόνου ἐκρατύνοντο καὶ αἱ μαῖαι εἰς τὴν δεδουλωμένην Ἑλλάδα, καὶ οἱ γνήσιοι υἱοὶ τοῦ Ἰσραὴλ ηὔξανον ἀθρούμενοι, καὶ ἐπληθύνοντο. «Εὖ δὲ ἐποίει ὁ θεὸς ταῖς μαίαις καὶ ἐποίησαν ἑαυταῖς οἰκίας» (α). Ἀπὸ τοῦ δεκάτου ἑβδόμου αἰῶνος καὶ ἐφεξῆς καὶ τὰ σχολεῖα καὶ οἱ ναοὶ τελειότερον συνεπήγνυντο, καὶ ἡ ταῦτα συνέχουσα καὶ συγκρατοῦσα, καὶ ὅλον τὸ γένος ὡς ἄλλη Κιβωτὸς διασῴζουσα, μεγάλη τοῦ Χριστοῦ Ἐκκλησία ἴσχυεν ἐπὶ μᾶλλον καὶ ἐκρατύνετο. Καὶ Πατριάρχαι ἀοίδιμοι καὶ Ἀρχιερεῖς καὶ ἱερεῖς καὶ μοναχοὶ κατὰ τόπους, καὶ ἡ ἐκ τῶν ἀειμνήστων καὶ σοφῶν ἐκείνων ἀνδρῶν, Παναγιωτάκη (τοῦ εἴτε κατὰ γένος, εἴτε κατ' ἐπιγαμίαν Μουρούζη) καὶ Ἀλεξάνδρου τοῦ Μαυροκορδάτου, ἀρξαμένη γενεὰ τῶν μεγάλων Διερμηνευτῶν καὶ Ἡγεμόνων, ὑπερασπίζοντο γενναιότερον τὴν ἐπὶ τὸ κρεῖττον πρόοδον τῶν ἱερῶν ναῶν καὶ διδασκαλείων· καὶ ἡ Ἐξουσία κατὰ καιροὺς ἀπέβαινε μᾶλλον ἀνεκτικὴ καὶ ἠπιωτέρα.

§. ιβ. Ἀλλ' ἤδη προσεγγιζούσης τῆς δεκάτης ἐννάτης

---

(α) Ἐξόδ. ά, 20, 21.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἑκατονταετηρίδος ἡ θεία δύναμις τάχει ἀνυπερβλήτῳ καὶ ἀφάτῳ ἐλέει, ὡς ἀκτὶς ἡλιακοῦ φωτὸς, εἰς τὸ γένος τὸ Ἑλληνικὸν ἐπιλάμψασα, ἀνέπλησε τὸ πᾶν σωτηρίου σπέρματος φιλομαθείας δραστικωτάτης. Τότε καὶ Ἐκκλησίαι λαμπρότεραι ἀνεγείροντο, καὶ Σχολαὶ τελειότεραι ἐπληθύνοντο, καὶ νέοι σπουδασταὶ μετέφερον καὶ ἄλλας ἐπιστήμας ἐκ τῆς Εὐρώπης, καὶ οἱ Ἕλληνες ἀνύψουν ὄμματα καὶ κεφαλὴν εἰς τὸν οὐρανόν· καὶ αὐτοὶ οἱ ὀρεσίτροφοι υἱοὶ τῆς εὐσεβοῦς ἐλευθερίας ἐπεσκόπουν ἐκ τῶν βράχων ἄνωθεν μετέωροι καὶ προσεκτικοί. Καθὼς εἰς τὴν ἐκ τῆς αἰχμαλωσίας ἀπαλλαγὴν τῶν υἱῶν Ἰσραὴλ εἶχεν ἡ Πρόνοια τοὺς Ζοροβάβελ, τοὺς Ἔσδρας, τοὺς Νεεμίας, τοὺς Μακκαβαίους τετηρημένους, οὕτως εἶχε προπαρεσκευασμένους καὶ τοὺς βοηθοὺς τῆς ἀπελευθερώσεως τοῦ νέου Ἰσραήλ. Ἐκ τούτων ἦσαν προωρισμένοι καὶ οἱ ἀοίδιμοι Ζωσιμάδαι. «Ἐπάνω πέντε πόλεων,» καὶ «Ἐπάνω δέκα πόλεων» κατέστησεν ὁ Κύριος ἐκείνους τοὺς δούλους, τοὺς πενταπλασίως καὶ δεκαπλασίως τὸ πιστευθὲν ἀργύριον πολλαπλασιάσαντας (α). Καὶ τὴν ἐν εὐεργεσίαις τὸ τοῦ πλούτου τάλαντον πληθύνουσαν Ζωσιμαίαν ἀδελφότητα κατέστησεν ὡσαύτως ἐπὶ πόλεων πολλῶν, ἐφ' ὅλης τῆς Ἑλλάδος, συνεργοῦσαν, μεταξὺ τῶν πρώτων, καὶ μακρόθεν εἰς ἀνάστασιν τοῦ γένους τῶν ἀδελφῶν. Ἐκκλησίαι καὶ Σχολαὶ ἐμαίευον πληθύνουσαι καὶ κρατύνουσαι τοὺς υἱοὺς τοῦ νέου Ἰσραήλ· ταῦτα λοιπὸν πρώτιστα καὶ κράτιστα συνοικοδομοῦσι καὶ οἱ τὴν ἐλευθέρωσιν αὐτῶν ἐπισπεύδοντες Ζωσιμάδαι. Εἶχον δὲ συνεργάτας καὶ γενναίους ἄνδρας καὶ μεγαλοφυεῖς, τοὺς σοφωτάτους

(α) Λουκ. ιθ', 16.18.

τῶν Ἑλλήνων, καὶ μάλιστα τοὺς δύο καθ' ἡμᾶς μεγάλους φωστῆρας τῆς Ἐκκλησίας καὶ τῆς Ἑλλάδος, τοὺς ἀειμνήστους διδασκάλους τῆς ἑλληνικῆς ὀρθοδοξίας καὶ σοφίας, τὸν Εὐγένιον καὶ τὸν Θεοτόκην. Τούτων λοιπὸν τὰ ἐκκλησιαστικὰ καὶ ἐπιστημονικὰ συγγράμματα πολλαπλασιάζουσιν οἱ Ζωσιμάδαι εἰς πολλὰς χιλιάδας διὰ τοῦ τύπου. Εἰς δὲ τὸν ἐν Παρισίοις ἐπὶ πολυμαθεστάτῃ φιλολογίᾳ περικλεῆ καὶ φιλόπατριν Κοραῆν παραδίδουσι τὴν ἔκδοσιν τῆς Ἑλληνικῆς Βιβλιοθήκης. Καὶ πέμπουσι κατὰ καιροὺς ἁπάσας τὰς ἐκτυπουμένας βίβλους, μυριάδας ὅπλων φωτός, εἰς τοὺς ἀνεγειρομένους Ἕλληνας. Ἐξήστραψε τέλος ὁ πᾶσαν τὴν Ἀσίαν καὶ Ἀφρικὴν συνταράξας, καὶ πᾶσαν τὴν Εὐρώπην μετέωρον ἀναστήσας ἑλληνικὸς ἀγών, ὁ πολυχρόνιος ἅμα καὶ πολυώδυνος. Ἀλλ' ἡ καρδία τῶν Ζωσιμάδων δὲν ἀπελπίζεται, διότι παρωμοίαζε τὴν ἐπὶ τῆς πέτρας τεθεμελιωμένην ἐκείνην οἰκίαν, ἣν οὔτε βία καταιγίδων σφοδρῶν, οὔτε λάβρος ἐκ νεφῶν καταῤῥηγνύμενος ὑετός, οὔτε χαράδραι καὶ χείμαῤῥοι προσαράσσοντες δύνανται κλονῆσαι καὶ κατασεῖσαι. Δύω μόνον ἐκ τῆς Πεντάδος ἀπέμειναν (τῶν ἄλλων τριῶν ἀδελφῶν πολὺ πρὸ τοῦ ἀγῶνος πρὸς Κύριον μεταστάντων (α)), ὁ Ζώης εἰς τὴν Μόσχαν, καὶ ὁ Νικόλαος εἰς τὴν

(α) Ὁ Θεοδόσιος ἐτελεύτησε τῷ 1793, (ὁπότε καὶ ἤρξαντο τὸ πρῶτον εὐεργετεῖν). Ὁ Ἀναστάσιος τῷ 1805. Ὁ Μιχαὴλ τῷ 1809. Ὁ Ζώης τῷ 1827 περὶ τὸν Σεπτέμβριον. Ὁ δέ, τέλος' Νικόλαος τῷ 1842. Φεβρουαρίου 14. Πολὺ πρὶν ἄρξωνται τῶν εὐεργεσιῶν ἐτελεύτησεν ὁ πρωτότοκος Ἰωάννης περὶ το 1786, ἐν Νίζνῃ τῆς Ῥωσσίας, ἄγαμος καὶ αὐτός, καὶ συνέμπορος, καὶ ὁμότροπος τῶν ἀδελφῶν, καὶ διὰ τὴν ἀρετὴν μάλιστα τιμώμενος ὑπ' αὐτῶν. Ὅθεν εἰς τούτου μνημόσυνον καὶ τὴν ἐν Νίζνῃ Ἐκκλησίαν καθιέρωσαν ἐπ' ὀνόματι τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου. Εἶχον δὲ καὶ τρεῖς



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Νίζναν. Ἀλλὰ καὶ οἱ δύω κατὰ τὴν τρικυμίαν ἐκείνην
ὀξέως, ὡς οἱ λεγόμενοι τῶν Διοσκούρων ἀστέρες, ἐπιφαι-
νόμενοι, ἐνήργουν συντόνως πάλιν, καθὼς οἱ πέντε, προ-
στιθέντες πρὸς τὸν οἰκεῖον καὶ ὃν ἐκληρονόμησαν ζῆλον
τῶν ἀδελφῶν. Πολλὰς χιλιάδας χρημάτων εἰσέφερον εἰς
τὸν ἀείμνηστον τοῦ φοβεροῦ ἀγῶνος πρώταθλον· καὶ ἄλλας
πάλιν ἐφεξῆς, ἤδη λωφήσαντος τοῦ ἀγῶνος ἐπὶ τοῦ ἀοιδί-
μου Κυβερνήτου, τοῦ Εἰρηνάρχου καὶ προπομποῦ τῶν σκή-
πτρων τῆς βασιλείας· καὶ βιβλίων δὲ καὶ τότε πάλιν
πλῆθος μέγα καὶ πολὺ, τῶν μὲν εἰς σύστασιν βιβλιοθήκης,
τὰ δὲ καὶ πρὸς τὸ διανέμεσθαι δωρεὰν ἐπὶ τῆς ἐλευθέρας
Ἑλλάδος. Ἐφεξῆς δὲ, τέλος, προσετέθη καὶ τὸ νομισμα-
τικὸν τιμαλφέστατον ταμεῖον μετὰ τῶν ἐπὶ τῆς τραπέζης
χρημάτων, ὡς καλὴ κορωνὶς στεφανοῦσα τὸ τέλος καὶ
τῶν δωρεῶν καὶ τοῦ μετὰ σώματος βίου τῆς Ζωσιμογενοῦς
καὶ ἀειζώου ἀδελφότητος. Καθὼς ὁ φωστὴρ τῆς ἡμέρας
καταβαίνων πρὸς τὴν δύσιν ἠρέμα καὶ μεγαλοπρεπῶς, πυ-
ραυγὴς ἀστράπτει καὶ μέγας διὰ τῶν πορφυρωπῶν ἀτμί-
δων, οὕτω καὶ ὁ φωτοφόρος δίσκος τῆς μεγαλοδωρίας
τῶν Ζωσιμάδων ἐξεπύρσευε μεγαλοπρεπέστατα, προσεγγί-
ζων εἰς τοῦ βίου τὰς δυσμάς. Ἔτι κατὰ τὸ 1827 ἀνε-
παύθη ἐν Κυρίῳ ὁ ἀοίδιμος Ζώης, ἀφ' οὗ ἴδε καὶ μα-

---

ἀδελφὰς ἐν Ἰωαννίνοις, ὧν ἀξιομνημόνευτος μάλιστα ἡ Ζωὴ, ἥτις, ἐπ' ὀλίγον ζήσαντος τοῦ πρώτου ἀνδρὸς αὐτῆς, ἀφιέρωσε καὶ αὐτὴ μετὰ τῶν ἄλλων δύω τὴν ἐκ τοῦ προτελευτήσαντος ἀδελφοῦ Θεοδοσίου καταληφθεῖσαν εἰς αὐτὰς κληροδοσίαν εἰς τὸ Σχολεῖον καὶ τὰς Ἐκκλησίας τῆς πατρίδος, καὶ διέμεινε μέχρι τέλους ἀληθῶς ἔκτυπον τῆς χήρας τοῦ Ἀποστόλου (Α. Τιμ. ε, 10) « ἐπακολουθοῦσα παντὶ ἔργῳ ἀγαθῷ » καὶ ἐπιστατοῦσα εἰς τὰ ἐνδύματα τῶν πτωχῶν καὶ τὰς ἄλλας τὰς εἰς τὰς παρθένους ἐλεημοσύνας τῶν ἀδελφῶν.

πρόθεν τῆς ἀναστάσης ἤδη μερίδος τῶν ἀδελφῶν τὴν βεβαίωσιν. Εἰς δὲ τὸν Νικόλαον ἀπέκειτο μακρόθεν ἰδεῖν καὶ βασιλεύουσαν τὴν πατρίδα. Καὶ ἴδε, καὶ ἐχάρη δι' ὅλης ὀκταετίας, καὶ οὕτως ἐξεδήμησε πρὸς Κύριον τελευταῖος τοῦ πενταδικοῦ τῶν Ζωσιμάδων χοροῦ, ὅστις μέχρις ἐσχάτης ἀναπνοῆς διῆλθεν εὐεργετῶν.

§. ιγ΄. Διῆλθε! — διέβη καὶ διήνυσεν ἤδη ἡ Ζώσιμος ἀδελφότης τὸν πρόσκαιρον βίον, ὃν εἶχεν ὅλον καθιερωμένον εἰς ἀγαθοεργίας ὑπὲρ τῆς φίλης πατρίδος, θαυμαστὸν φιλογενείας φανεῖσα παράδειγμα, καὶ σπανιώτατον μεταξὺ πάντων τῶν χριστιανικῶν τῆς Οἰκουμένης ἐθνῶν. Ἀλλ' ἤδη, τέλος, ἐπαύσατο καὶ ζῶσα καὶ ἀγαθοεργοῦσα. Ἡ δωδεκάκρουνος καλλιρόη τῶν χαρίτων ἀπέσβη πλέον καὶ ἐξηράνθη. Ἔδυσεν ἤδη ἡ πεντάστερος τῆς Ζωσιμαίας ἀδελφότητος φαῦσις· οὐδ' ἐπιχέει τὰς εὐεργετικάς αὐτῆς καὶ φεγγοβόλους ἐπιῤῥοὰς εἰς ἣν ἠγάπα καὶ λίαν ἐπόθει πατρίδα! Ὦ, ποσάκις ἐπεθύμησαν ἔτι ζῶντες οἱ ἀείμνηστοι καὶ αὐτοῖς ἰδεῖν ὀφθαλμοῖς καὶ τὸ πάτριον πάλιν ἔδαφος καὶ τῆς ἤδη ἐλευθέρας Ἑλλάδος τὰ καλὰ, εἰς ἃ τοσοῦτον συνήργησαν! Ἤθελον, πάντως ἤθελον ἰδεῖν τὴν γῆν καὶ τὴν θάλασσαν τὴν Ἑλληνικὴν, τὰς νήσους, τοὺς κόλπους, τὰ ὄρη, τὰς κοιλάδας, τὰς πεδιάδας, ὅπου μένουσι διηνεκῶς ἐντετυπωμένα καὶ τῆς θείας δυνάμεως τὰ θαυμάσια, καὶ αἱ ἀριστεῖαι τῶν ὑπὲρ πίστεως καὶ πατρίδος ἀγωνισθέντων υἱῶν τῆς Ἑλλάδος. Ἤθελον, πάντως ἤθελον ἰδεῖν τὴν μεγάδοξον Πύλον, ὅπου τριῶν τῶν ἐν Εὐρώπῃ μεγίστων καὶ θεοφρουρήτων Δυνάμεων οἱ ἀνίκητοι στόλοι περιέθαλψαν τὸν λαὸν τῆς Ἑλλάδος, ἤδη πρὸ πολλοῦ ἐκ τοῦ μνήματος, ὡς ὁ Λάζαρος, θεοῦ φωνήσαντος, ἐξελθόντα, καὶ ἔλυσαν αὐτοῦ τὰς ἐκ τοῦ μακροῦ πολέμου πέδας καὶ κειρίας. «Λύσατε» (εἶπε καὶ πρὸς τοὺς κρα-

ταιοὺς τούτους εὐεργέτας ἡ ζωαρχικὴ τοῦ παμβασιλέως φωνή.) «Λύσατε αὐτὸν, καὶ ἄφετε ὑπάγειν.» Ἤθελον, πάντως ἤθελον ἰδεῖν τῆς μετὰ θάμβους ὅλων τῶν ἐθνῶν τῆς γῆς ἐκ νεκρῶν ἀναστάσης Ἑλληνικῆς βασιλείας τὸν θεοστήρικτον θρόνον, καὶ τὸν ἐπ' αὐτοῦ βασιλεύοντα ὀλβιώτατον πρῶτον ἄνακτα. Ἤθελον ἰδεῖν τοὺς εὐκλεεστάτους ἀριστέας τῶν πεζομάχων καὶ ναυμάχων ἀγωνιστῶν, καὶ στρατὸν ἑλληνικὸν, στήθη τῆς βασιλευούσης πατρίδος κατὰ τῶν πολεμίων ἀῤῥαγέστερα τειχῶν. Ἤθελον ἰδεῖν ἐλευθέρας πολιτείας ἀρχὰς πολιτικὰς, βουλευτήρια, δικαστήρια, αὐτὰ τὰ ὑπὲρ ὧν τοσοῦτον ἐκοπίασαν Ἑλληνικὰ Σχολεῖα καὶ Γυμνάσια καὶ τὸ λαμπρὸν Πανεπιστήμιον. Ὢ μετὰ πόσης χαρᾶς καὶ τιμῆς ἔμελλον αὐτοὺς ἐλθόντας ὑποδέξεσθαι καὶ ἀρχαὶ μετὰ τῶν ἀρχομένων, καὶ μάλιστα οἱ σοφοὶ Καθηγηταὶ καὶ διδάσκαλοι μετὰ τῆς πολυαρίθμου χορείας τῶν μαθητῶν, οἵτινες σήμερον ἐν ὅλῳ τῷ Κράτει φέρουσι τὸ σημεῖον τοῦ πένθους, καὶ εὔχονται ὑπὲρ τῆς αἰωνίου ἀναπαύσεως τῶν εὐεργετῶν. Ἀλλ' ἐκεῖνοι μὲν καὶ μακρόθεν ἐγκαρδίως ἐπευξάμενοι καὶ προϊδόντες εἰς τὸ κάτοπτρον τῆς θείας ἐλπίδος τὴν ἐπὶ τὰ κρείττω πρόοδον καὶ βελτίωσιν τῶν καλῶν τῆς πατρίδος, ἐνύσταξαν, τέλος, καὶ ἐκοιμήθησαν τὸν ὕπνον τῶν δικαίων. Καὶ αἱ μὲν μακάριαι αὐτῶν ψυχαὶ ἐξῆλθον εἰς ἀπάντησιν τοῦ Νυμφίου, κατὰ τὰς ἰσαρίθμους ἐκείνας τὰς πέντε φρονίμους παρθένους τῆς εὐαγγελικῆς παραβολῆς, φέρουσαι τὰς λαμπάδας αὐτῶν ἀκοιμήτους καὶ φαιδρὰς, καὶ ἀειλαμπῶς καιομένας τῷ φωτὶ τῆς εὐσεβείας καὶ τῷ ἐλαίῳ τῆς εὐποιΐας (α). Τὰ δὲ σώματα αὐτῶν «ὡς

---

(α) Ματθ. κέ, 1-7.

ὥριμος σῖτος, ὡς ἅλωνος θημωνία, συνεκομίσθησαν εἰς τοὺς φυσιζόους κόλπους τῆς μητρὸς ὅλων τῶν θνητῶν, ἐντίμως καὶ ὁσίως ταφέντα, καὶ τὴν τῆς ἐνδόξου ἀναστάσεως ἀνακλητήριον σάλπιγγα περιμένοντα· «τὰ σώματα αὐτῶν ἐν εἰρήνῃ ἐτάφη,» ἀλλὰ «καὶ τὸν ἔπαινον αὐτῶν ἐξαγγέλλει ἡ ἐκκλησία» (α). Πανταχοῦ τῆς ὀρθοδοξίας ἀναπέμπονται πρὸς Θεὸν ὑπὲρ αὐτῶν εὐχαὶ καὶ δεήσεις· καὶ ἡ μνήμη αὐτῶν περιᾴδεται πανταχοῦ, καὶ μάλιστα τῆς Ἑλλάδος. Ἡμέραι πρὸς ἡμέρας καὶ ἐνιαυτοὶ πρὸς ἐνιαυτοὺς ἀναγγέλλουσιν « ὁ χορὸς τῶν Ζωσιμάδων διῆλθεν εὐεργετῶν.» καὶ λαοὶ καὶ πόλεις ἀντιφωνοῦσι, «διῆλθεν εὐεργετῶν.»

ζ. ιδ'. Τούτους αὐτοὺς τοὺς λόγους, ἀγαπητοί, καὶ αὐτοὶ οἱ ἀοίδιμοι εὐεργέται πρὸς ἡμᾶς ἐπαναλαμβάνουσι, φωνὴν σχεδὸν ἀφιέντες ἐκ τοῦ πλησίον, ἐξ αὐτῶν τῶν παρ' ἡμῖν εὐεργετημάτων, καὶ πρὸς πᾶσαν ἀγαθοποιΐαν παρακαλοῦντες. «Διέρχεσθε εὐεργετοῦντες.» Ναί, χριστεπώνυμε τοῦ Κυρίου λαέ, καὶ ἡμεῖς ὀφείλομεν διέρχεσθαι τὸν βίον ἀγαθοποιοῦντες ἀλλήλους, τὸ κατὰ δύναμιν ἕκαστος, κατὰ τὴν θείαν ἐντολὴν τῆς ἀγάπης καὶ τῆς φιλαδελφίας. Τοῦτον ἀδελφοὶ τὸν βραχὺν καὶ μάταιον βίον πάντες διερχόμεθα ὡς παροδῖται καὶ διαβάται, «Γενεὰ πορεύεται, καὶ γενεὰ ἔρχεται.» Συνεχὴς τις ὁδὸς πρόκειται εἰς ἡμᾶς ἡ παροῦσα ζωὴ παρατεταμένη, καὶ διῃρημένη καθ' ἡλικίας, ὡς ἂν εἰς σταθμούς· καὶ ἀρχὴ μὲν τῆς ὁδοιπορίας ἡ γέννησις, τέρμα δὲ τοῦ δρόμου ἡ τοῦ τάφου σκηνή. Ἐκεῖ, τέλος, καταντῶσιν ἅπαν-

(α) Σ. Σειρ, μδ' 14, 15.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τες, οἱ μὲν πρωϊμότερον, οἱ δὲ κατόπιν καὶ ὀψιαίτερον, οἱ δὲ καὶ μετέπειτα, διελθόντες δι' ὅλων τῶν σταθμῶν. Διαφέρει δὲ τῶν ἄλλων ὁδῶν ἡ τοῦ βίου πορεία κατὰ τοῦτο μάλιστα· καθότι, τὰς μὲν συνήθεις ὁδοὺς, ὅσαι φέρουσιν ἀπὸ τόπου εἰς τόπον, δύναταί τις καὶ ἅπαξ καὶ πολλάκις, καὶ γοργὰ καὶ ἀργὰ, καὶ ὅπως καὶ ὅταν θέλῃ βαδίσαι, καὶ μὴ βαδίσαι μηδόλως ὁ μὴ βουλόμενος. Ἀλλὰ τὸν δρόμον τοῦ βίου πᾶς ἄνθρωπος, ὅταν ἅπαξ περάσῃ τῶν μητρώων ὠδίνων τὰς πύλας, ἀναγκάζεται ἔπειτα βαδίζειν συνεχῶς καὶ ἀδιακόπως, προχωρῶν πρὸς τὸ τέλος ἀνεπίστροφος καὶ δρομαῖος. **Βάδιζε**, λέγει πρὸς αὐτὸν ὁ χρόνος, ὡς βαρὺς ἐπείκτης καὶ διώκτης, ἀδυσώπητος ἐφεστώς· καὶ ἡμέρα καὶ νὺξ καὶ ὥρα πᾶσα σοβαρῶς ἐπαναλαμβάνει: **Βάδιζε**! ποῦ; πρὸς τὸν τάφον! Ἐκεῖ σὲ περιμένει ἡ ἀπ' αἰῶνος στηλογραφηθεῖσα διαθήκη ἐκείνη τοῦ Αἰωνίου «Θανάτῳ ἀποθανῇ! Ἐκεῖ παραδώσεις τὸν χοῦν εἰς τὸν χοῦν. Σὺ δὲ πρὸς τὸν ὕψιστον Δημιουργόν σου μεταχωρήσεις, τὸν Θεὸν τῶν πνευμάτων καὶ πάσης σαρκὸς, οὗτινος ὁ ἀκοίμητος ὀφθαλμὸς ἄνωθεν ἐπιβλέπει εἰς ὅλα τῆς ὁδοιπορίας σου τὰ διαβήματα καὶ τὰς πράξεις. «Αἱ ὁδοὶ ἡμῶν ἐναντίον αὐτοῦ διὰ παντὸς οὐ κρυβήσονται ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ, καὶ ἅπαντα τὰ ἔργα ἡμῶν ὡς ὁ ἥλιος (φανερὰ) ἐνώπιον αὐτοῦ» (α). Ἐπειδὴ λοιπὸν ὑπάρχει τοιαύτη καὶ ἀναγκαία καὶ ταχεῖα καὶ ἀνεπίστροφος ἡ τοῦ βίου ὁδοιπορία, μένει πλέον εἰς ἡμᾶς ἡ φροντὶς, ἵνα πάντες βαδίζωμεν ἑτοιμαζόμενοι πρὸς τὴν μεγάλην ἐκείνην ἀποδημίαν. Γίνεται δὲ ἡ τοιαύτη ἑτοι-

(α) Σ. Σειρ. ιζ΄. 15. 19.

μασία, ὅταν ἐκπληρῶμεν τῆς πρὸς Θεὸν καὶ πρὸς τὸν πλησίον ἀγάπης τὰ νενομοθετημένα χρέη. Βαδίζεις ἀδελφὲ καθ' ὅλους τοὺς σταθμοὺς τῆς ζωῆς «ἐν ὁδῷ δικαίων;» ἔχεις λύχνον τοῖς ποσί σου καὶ φῶς ταῖς τρίβοις σου, τὸν νόμον τοῦ Θεοῦ; κατευθύνεις καὶ κατορθοῖς τὴν ὁδόν σου καὶ νεώτερος καὶ ἕως γήρως καὶ πρεσβείου, στοιχῶν κατὰ τὰς ἐντολὰς τῆς θείας δικαιοσύνης (α); τότε διέρχῃ εὐεργετῶν. καὶ ὅσῳ προχωρεῖς, τοσούτῳ μᾶλλον προκόπτεις εἰς τὸν διὰ τῆς εὐσεβείας ἁγιασμὸν καὶ καθαρισμόν. «Καὶ ὁ ἅγιος ἁγιασθήτω ἔτι» (β). Καὶ φθάνεις εἰς τὸ τέρμα πλήρης ἀγαθῶν ἐλπίδων, ὡς ἐργάτης πιστός, ὅστις ὑπάγει πρὸς τὸν Δεσπότην ἀποληψόμενος τοῦ καμάτου τὸν μισθόν. Κληθεὶς εἰς τὸν κόσμον ὑπὸ Θεοῦ, ἐπλήρωσας τὸν σκοπὸν τῆς ἀποστολῆς σου, καὶ ἐπιστρέφεις εὔελπις πρὸς αὐτόν. «Ὁ ἀγαθοποιῶν ἐκ τοῦ Θεοῦ ἐστιν, ὁ δὲ κακοποιῶν οὐκ ἔγνωκε τὸν Θεόν» (γ). Βαδίζεις πάλιν κατὰ τὰ θελήματα τῆς σαρκός; καὶ περιπατεῖς, οὐ καθὼς σε κέκληκεν ὁ Κύριος, ἀλλ' ἐν ἀνομίαις ποικίλαις, ἀδικῶν καὶ τύπτων τοὺς συνδούλους; (δ)· καὶ τότε διέρχῃ, καί τοι κακεργετῶν καὶ κακοποιῶν, ἀλλ' ὅμως διέρχῃ καὶ τότε, καὶ διαβαίνεις ταχέως, οὐδὲ γίνονται τὰ βήματά σου χρονιώτερα καὶ βραδύτερα δι' ὅσας συγχρόνως μετ' αὐτῶν συνεχίζεις πράξεις τῆς ἀδικίας. Καὶ τότε, βῆμα ταχύ! καὶ φθάνεις κακοδαίμων εἰς τὸ τέρμα, παρομοιάζων ἀπο-

(α) Ψαλ. α, 6, ριή, 9.
(β) Ἀποκ. κβ' 11.
(γ) Γ. Ἰωάν. 11.
(δ) Ματθ, κδ, 49.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

νενοημένον κατάδικον, ὅστις φέρων ἐπὶ τοῦ τραχήλου τὸ σχοινίον τῆς ἀγχόνης, ἀτακτεῖ καὶ ἀσχημονεῖ καθ' ὁδὸν, ἀπαγόμενος εἰς τὸν τόπον τῆς καταδίκης. Ἤδη, φέρ' εἰπεῖν, διαβαίνεις τῆς ἀνθηρᾶς νεότητος τὸν σταθμόν· πορεύεσαι ἐν ὁδῷ ἁμαρτωλῶν; καταχρᾶσαι τῆς ἡλικίας τὴν ἀκμήν; ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπὸ τοῦ, πρὸς ὃν ὑπάγεις, Δημιουργοῦ σου, κράζων ὡς ὁ ἄθεος ἐκεῖνος τοῦ Ἰὼβ « Ἀπόστα ἀπ' ἐμοῦ· ὁδούς σου εἰδέναι οὐ βούλομαι»; (α) πορεύου, καὶ καταῤῥυποῦ, καὶ ἀδίκει, διότι θέλεις, « Ὁ ἀδικῶν ἀδικησάτω ἔτι, καὶ ὁ ῥυπῶν ῥυπωσάτω ἔτι» (ϐ)· ἀλλ' ὅμως — βάδιζε! Ἔφθασας ἤδη εἰς τὸν εὐπαγῆ τῆς ἀνδρικῆς ἡλικίας σταθμόν! πάλιν ἐκτείνεις χεῖρας εἰς ἀνομίας »; καὶ ἐφ' ὅσον μακρύνεις τὴν πορείαν συμμακρύνεις καὶ τὴν ἅλυσιν τῶν ἀδικιῶν σου; καὶ κρύπτεις κατὰ τοῦ συνοδίτου σου σκάνδαλα καὶ παγίδας ἐν ὁδῷ ταύτῃ ᾗ πορεύεσθε κοινῶς; παρανόμει καὶ ἀδίκει, διότι θέλεις. « Ὁ ἀδικῶν ἀδικησάτω ἔτι». Βάδιζε! Κατήντησας, τέλος, εἰς τῆς γεροντικῆς καὶ πρεσβυτικῆς ἡλικίας τὸν σταθμὸν, τὸν σεσαθρωμένον καὶ ἑτοιμόῤῥοπον. Πάλιν κακοποιεῖς; « οὐδὲ προσώχθισας τῇ κακίᾳ; « οὐδ ἠβουλήθης συνιέναι» τοῦ ἀγαθῦναι; (γ) ἀλλ' ἔτι μένεις πεπωρωμένος, καὶ « πεπαλαιωμένος ἡμερῶν κακῶν; » (δ)· ἀδίκει τὸ τελευταῖον, « Ὁ ἀδικῶν ἀδικησάτω ἔτι»! Βάδιζε-, καὶ ὁ τάφος ἐγγύς. Κατάβα! Πρὶν ὅμως

(α) Ἰώϐ. κα, 14.
(ϐ) Ἀποκαλ. κϐ', 11.
(γ) Ψαλ. λέ, 3, 4.
(δ) Σωσάν. 52.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

κλείσῃς τὰ ὄμματα, στρέψον τὸ βλέμμα τῆς συνειδήσεως ὀπίσω. τί βλέπεις; τί ἀκούεις; τὰ μακρὰ τῶν ἀδικημάτων σου ἴχνη, καὶ τὰς κατάρας τῆς κατόπιν σου ἐπερχομένης γενεᾶς· Ἐπίστρεψον τὰς ὄψεις καὶ πρὸς σεαυτὸν μόνος ἤδη μένεις καὶ εὐσύνοπτος, ἔρημος πάντων, καὶ αὐτοῦ τοῦ δυστήνου σαρκίου γεγυμνωμένος, αὐτὴν ἔχεις τὴν ψυχήν. φεῦ! πόσας ἔχει κηλῖδας εἰς βάθος ἐντετηκυίας! πόσαι μέλαιναι τῶν πράξεών σου εἰκόνες, ὡς ἂν σκιαὶ φοβεραὶ, περιστοιχοῦσι τὸ συνειδός σου. «καὶ τὰ ἔργα αὐτῶν, μετ' αὐτῶν»! Ἀπόβλεψον, τέλος, καὶ πρὸς τὸ περιμένον σε δικαστήριον, οὗτινος αἱ αἰώνιοι θύραι ἤδη ἀνοίγονται ἔμπροσθέν σου. Ὦ ποία φρίκη! Ὁποῖος τρόμος! Ὢ φεῖσαι Κύριε, ἐλέησον Κύριε, καὶ μὴ καταλίπῃς εἰς τὴν ἐσχάτην ταύτην ἀπόγνωσιν μηδένα τῶν πιστῶν σου λατρευτῶν· μηδεὶς ἡμῶν ἀποθάνοι ἐν ταῖς ἁμαρτίαις αὐτοῦ» (α)! ἀλλὰ καταξίωσον ἕκαστον ἵνα τὴν βραχεῖαν τοῦ προσκαίρου βίου πορείαν διέλθῃ εὐεργετῶν.

ς΄. ιέ. Ταῦτα σήμερον ἡμᾶς, ἀδελφοί, συντόμως ὑπομιμνήσκει τὸ μνημόσυνον τῶν εὐσεβῶν καὶ φιλαδέλφων Ζωσιμάδων, οἵτινες ὅλην αὐτῶν τὴν ζωὴν συνεμέτρησαν πρὸς τὰς εὐποιΐας, ἀγαθοποιοῦντες καὶ ἰδίᾳ καὶ κοινῇ καὶ δουλεύουσαν τὴν πατρίδα, καὶ βασιλεύουσαν. Σὺ δὲ Κύριε Παντοκράτωρ, ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων, ἐπουράνιε Βασιλεῦ, τὸν θεοσεβέστατον καὶ φιλόχριστον Βασιλέα, ὃν ἐδικαίωσας βασιλεύειν ἐπὶ τῆς γῆς σου, στερέωσον καὶ φώτισον εἰς σωτηρίαν τοῦ λαοῦ σου. Τὴν ἁγίαν ἡμῶν πίστιν, τὴν πίστιν τῶν πατέρων ἡμῶν

(α) Ἰωάν. ή, 21.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

στήριξον ἀσάλευτον εἰς τὰς καρδίας τῶν λατρευτῶν σου· Τὰ ἔθνη τὰ τοὺς πολέμους θέλοντα πράϋνον· Τὸν κόσμον, τὸν πολυτάραχον κόσμον, εἰρήνευσον· Τὴν ἁγίαν σου Ἐκκλησίαν, τὴν ἐπὶ γῆς στρατευομένην καὶ πολλαχῶς κυμαινομένην, καλῶς διαφύλαξον· Κύριε καὶ Δέσποτα τῆς ζωῆς ἡμῶν, παράλαβε καὶ ἡμᾶς ἐν μετανοίᾳ, καὶ τοὺς προαπελθόντας πατέρας καὶ ἀδελφοὺς ἡμῶν, ἐν οἷς καὶ τοὺς εὐεργέτας Ζωσιμάδας, ἐν σκηναῖς δικαίων τάξον, πᾶν ἁμάρτημα τὸ παρ' αὐτῶν πραχθὲν ὁ μόνος ἀναμάρτητος συγχωρήσας, καὶ μετόχους ἀναδείξας τῆς ἡτοιμασμένης εἰς τοὺς εὐλογημένους τοῦ πατρός σου βασιλείας τε καὶ μακαριότητος. Ἀμήν.

Τῶν ἀοιδίμων Ζωσιμάδων, τῶν πιστῶν τῆς ὀρθοδόξου Ἐκκλησίας υἱῶν καὶ θεραπευτῶν, αἰωνία ἡ μνήμη.

Τῶν ἀοιδίμων Ζωσιμάδων, τῶν φιλογενεστάτων τῆς κοινῆς πατρίδος εὐεργετῶν, αἰωνία ἡ μνήμη.

Τῶν ἀοιδίμων Ζωσιμάδων, Θεοδοσίου, Ἀναστασίου, Νικολάου, Ζώη, Μιχαὴλ, τῶν φιλαδέλφων τῆς ἐλευθέρας Ἑλλάδος εὐεργετῶν, καὶ τῶν γονέων αὐτῶν, καὶ τῶν ἀδελφῶν, αἰωνία ἡ μνήμη.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

H.

# Πρὸς τὴν ἐπὶ τῶν Ἐκκλησιαστικῶν καὶ τῆς δημοσίου Ἐκπαιδεύσεως Γραμματείαν τῆς Ἐπικρατείας

Ὑστερήσαμεν μὴ ἀπευθυνθέντες πρὸς τὴν Γραμματείαν ταύτην. ὡς μετ' οὐ πολὺ ἐκθησόμενοι πρός τε τὴν Κυβέρνησιν καὶ πρὸς τὸ Δημόσιον τὴν ἐκπλήρωσιν τῶν ἀνατεθέντων ἡμῖν χρεῶν. Ἀλλ' ἐπειδὴ ἥ,τε εἴσπραξις τῶν συνδρομῶν ἐδεῖτο καιροῦ τινος, καὶ ὁ σεβάσμιος Οἰκονόμος ἀσθενῶς ἔχων ὀψιαίτερον συνέταξε τὸν ἐκφωνηθέντα λόγον, ἀνεβάλομεν ἐπὶ ποσὸν τὴν δημοσίευσιν τῶν τῆς Ἐπιτροπῆς πράξεων.

Ἐν δὲ τούτῳ χρέος ἡμῶν ἐνομίσαμεν ἵνα μὴ ὑπερθῶμεν ἐπὶ πλέον τὴν πρὸς τὴν Γραμματείαν ἐπιστολὴν ταύτην, δι' ἧς κυρίως παρακαλοῦμεν αὐτὴν, ὅπως βάλῃ εἰς τοὺς πόδας τῆς Αὐτοῦ Μεγαλειότητος τὰς βαθείας εὐχαριστήσεις τῆς Ἐπιτροπῆς διὰ τὴν γενναίαν συνδρομὴν καὶ τῶν διοικητικῶν ἀρχῶν τὴν συνέργειαν περὶ τὴν τέλεσιν τοῦ μνημοσύνου.

Ἡ Αὐτοῦ Μεγαλειότης ἀσπασάμενος προθύμως τὴν εὐσεβῆ ἐπιθυμίαν, ἣν ἐξέφρασαν οἱ ἐν Ἀθήναις λόγιοι πρὸς τιμὴν τῆς σεμνῆς τῶν Ζωσιμάδων ἀδελφότητος, ἀπέδειξε πασιδήλως, ὅτι συγκοινωνεῖ τῶν γενναίων αἰσθημάτων, ἅτινα ἀναφαίνονται ἐπὶ τῆς Ἑλληνικῆς κοινωνίας.

Ἰδίως δ' εὐγνωμονοῦσα ἡ Ἐπιτροπὴ, ὅτι ἡ Αὐτοῦ Με

γαλειότης ἐπεψηφίσατο τὴν παρὰ τῶν ἐντολέων αὐτῆς γεγενομένην ἐκλογὴν, σπεύσει ἐντὸς ὀλίγου, ἵνα δώσῃ τῶν πεπραγμένων ἀκριβῆ λόγον πρός τε τὸ Δημόσιον καὶ πρὸς τὴν Κυβέρνησιν.

Ἐν Ἀθήναις τῇ 20 Ἀπριλίου 1842.

Ἡ ἐπὶ τοῦ μνημοσύνου τῶν Ζωσιμάδων Ἐπιτροπή.

ΓΕΩΡΓΙΟΣ ΑΙΝΙΑΝ
ΜΙΧΑΗΛ Γ. ΣΧΙΝΑΣ.
ΓΕΩΡ. Α. ΜΑΥΡΟΚΟΡΔΑΤΟΣ.
ΠΕΡΙΚΛΗΣ ΑΡΓΥΡΟΠΟΥΛΟΣ.
ΓΕΩΡΓΙΟΣ ΓΕΝΝΑΔΙΟΣ.

---

Διόρθωσις σελ. 10.

εὐεργετήσαντες γρ. εὐεργετήσαντες.

Προσθήκη σελ. 15.

Γεώργιος Καραμάνος ἔδωκε δρ. 10.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ